Ἀληθὲς καὶ ἀναντίρρητόν ἐστιν ὅτι αἱ σχέσεις τῶν δύο τότε μεγάλων καὶ σπουδαιοτέρων διαμορφώσεων τοῦ χριστιανισμοῦ, αἱ σχέσεις τῶν Ἐκκλησιῶν τῆς Ἀνατολῆς καὶ τῆς Δύσεως, ἦσαν λίαν, ὡς λέγομεν σήμερον, τεταμέναι, καὶ τοῦτο διὰ τὴν ἀντευαγγελικὴν καὶ ὅλως ἀντικανονικὴν φιλοπρωτείαν Νικολάου τοῦ Α΄ καὶ δὴ καὶ διὰ τὴν ἀξιοκατάκριτον ἀνοχήν, ἣν οὗτος ἐπεδείκνυε πρὸς μωράς τινας καὶ ἀνοήτους ζητήσεις καὶ καινοτομίας, ὅσαι τότε πρῶτον ἤδη κατὰ τὴν Ἑσπερίαν ὡς μύκητες ἀνεφύοντο, ἢ καὶ πρὸ πολλοῦ ὑπὸ τοῦ ἐχθροῦ τῆς ἀληθείας σπαρεῖσαι καὶ ἀθορύβως τὰ χριστιανικὰ πνεύματα νεμόμεναι, πρῶτον ἤδη τότε ἐβλάστανον καὶ ὑψοῦντο ὡς φοβερὰ ζιζάνια ἐν τῷ μέσῳ τοῦ σίτου· ἀλλ' ὅμως δὲν ἦσαν καὶ τοιαῦται αἱ περὶ ὧν ὁ λόγος σχέσεις, ὥστε νὰ δύναταί τις νὰ λέγῃ ὅτι αἱ Ἐκκλησίαι αὗται καθάπερ σήμερον οὕτω καὶ τότε ἐχωρίζοντο ἀπ' ἀλλήλων διὰ τείχους σινικοῦ, ἢ ὅτι καὶ τότε τὰ αὐτὰ οὔρεα σκιόεντα καὶ ἡ αὐτὴ θάλασσα ἠχήεσσα ἦσαν ἀνὰ μέσον αὐτῶν.

Γνωστόν ἐστι καὶ παρὰ πᾶσιν ὁμολογούμενον ὅτι ἐπὶ ἐννέα αἰῶνας αἱ Ἐκκλησίαι τῆς Ἀνατολῆς καὶ τῆς Δύσεως ἵσταντο ἀπέναντι ἀλλήλων φέρουσαι τὸν ἰδιάζοντα αὐταῖς ἐκκλησιαστικὸν ἐν τῇ ἐξωτερικῇ λατρείᾳ τοῦ Θεοῦ χαρακτῆρα, ὡς οὗτος ἀρχῆθεν ἐν αὐταῖς ἐμορφώθη, χωρὶς οὔτε ἡ μία οὔτε ἡ ἑτέρα νὰ θεωρῇ διὰ τοῦτο ἑαυτὴν μόνον ὀρθοδοξοῦσαν· ὡσαύτως ἀναντίρρητόν ἐστιν ὅτι ἂν αἱ Ἐκκλησίαι τῆς Ἀνατολῆς ἀπὸ Νικολάου τοῦ Α΄ καὶ ἑξῆς εἶχον σπουδαίους λόγους ἵνα ἐκφράζωσι τὴν ἀδελφικὴν αὐτῶν ἀνησυχίαν καὶ λύπην καὶ ἔστιν ὅτε καὶ πικρότερόν πως μέμφωνται τὰς ἐπὶ μέρους ἐκκλησίας τῆς Δύσεως ὡς παρεκκλινούσας τοῦ κανόνος τοῦ ὀρθοτομεῖν τὸν λόγον τῆς εὐαγγελικῆς ἀληθείας καὶ τοῦ στοιχεῖν πρὸς τὴν ἀνέκαθεν ἐπικρατοῦσαν τάξιν τῆς ἐκκλησιαστικῆς ἐλευθερίας ἔνδον τῶν ὑπὸ τῶν ἁγίων πατέρων καὶ τῶν ἱερῶν συνόδων τεθεσπισμένων· αἱ ἐκκλησίαι ὅμως τῆς Δύσεως οὐδένα λόγον τοιοῦτον εἶχον πρὸς τὰς ἐκκλησίας τῆς Ἀνατολῆς.

Ταῦτα πάντα διακηρύττει καὶ ἐκτὸς πάσης ἀμφιβολίας τίθησι τοῖς γε περὶ τούτων δισταζουσιν οὐ μόνον ἡ ἱστορία τῆς καθόλου καταστάσεως τῶν δύο Ἐκκλησιῶν ἐπὶ τῆς ἐννάτης ἑκατονταετηρίδος, ἀλλὰ καὶ ἡ μεγάλη καὶ ἀξιομνημόνευτος φωνὴ τοῦ πάπα Ἰωάννου τοῦ Η΄, ὃς διερωτήσας τὸν σεβάσμιον ἀρχιεπίσκοπον τῆς Μοραβίας ἐνώπιον τῆς περὶ αὐτὸν συνόδου τῶν ἐπισκόπων καὶ αὐστηρῶς δοκιμάσας αὐτὸν οὐ μόνον ἐν τοῖς τῆς πίστεως, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ἄλλοις τοῖς εἰς τὴν λατρείαν τοῦ Θεοῦ καὶ τὴν ἐκκλησιαστικὴν τάξιν καθόλου ἀναγομένοις, εὗρεν αὐτὸν ὀρθοδόξως καὶ πιστεύοντα καὶ ποιοῦντα.

Ἡ φωνὴ αὕτη τοῦ πρωθιεράρχου τῆς Ῥώμης, ἥτις ἐστὶν ἡ τελευταία ἴσως ἱερὰ φωνὴ τῆς ἀρχαίας ὀρθοδόξου ρωμαϊκῆς Ἐκκλησίας, οὐδένα πάντως ἐνδοιασμὸν ἐγκαταλείπει ὅτι οἱ κατήγοροι τοῦ ἱεροῦ Μεθοδίου οὐδένα σπουδαῖον λόγον εἶχον ὅπως καθάπτωνται τῆς πίστεως καὶ τῆς πράξεως αὐτοῦ· ὅτι ἐπομένως λογομάχοι καὶ καινοτόμοι ἦσαν αὐτοὶ καὶ οὐχὶ ὁ ἱερώτατος καὶ ἐν πᾶσιν, ὡς ἡ ἁγία μήτηρ αὐτοῦ Ἐκκλησία, ὀρθοδοξῶν Μεθόδιος.

Ἀλλ' ἡ φωνὴ αὕτη σχετιζομένη πρὸς τὴν ὅλως πολεμίαν στάσιν τῶν ἀντιπάλων τοῦ ἱεροῦ Μεθοδίου μαρτυρεῖ πρὸς τούτοις πόσον διαδεδομένη ἤδη ἐτύγχανεν ἐν τῷ πνεύματι οὐ μόνον τοῦ λαοῦ, ἀλλὰ καὶ τοῦ κλήρου καὶ πολλῶν ἔτι κατὰ τόπους ἐπισκόπων καὶ ἀρχιεπισκόπων τῆς Δύσεως (ἐξέστω δὲ ἡμῖν τὸ φρονεῖν καὶ λέγειν τοῦτο καὶ περὶ τῶν ἀνωτέρω κληρικῶν, ἕως οὗ δοθῇ εἰς τὸ μέρος τοῦτο ἀπάντησις σαφὴς καὶ ἀποχρῶσα) ἡ στρεβλὴ καὶ ψευδὴς θεωρία, ὅτι πᾶν μὴ δυτικὸν καὶ ἀδόκιμον καὶ κακόδοξον καὶ σχισματικὸν καὶ αἱρετικὸν καὶ ὡς ἐκτὸς δῆθεν τῆς ἀληθοῦς Ἐκκλησίας ψυχόλεθρον καὶ ἀπαράδεκτον.

Τὴν θεωρίαν ταύτην, ἣν πάνυ εὐσχήμως ἀποκρούει ὁ πάπας Ἰωάννης ὁ Η΄ ἐν τῇ ἀνωτέρω μνημονευθείσῃ ἐπιστολῇ αὐτοῦ, φαίνονται ἔχοντες τῷ ὄντι οἱ τότε ἀντίπαλοι τῶν ἐξ Ἀνατολῆς διδασκάλων Κυρίλλου καὶ Μεθοδίου· ὁ κατὰ τούτων πόλεμος ἦν πόλεμος καὶ κατὰ τῶν ὀρθοδόξων ἐκκλησιῶν τῆς Ἀνατολῆς, τῆς διδασκαλίας, τῆς θείας λατρείας, τῶν ἠθῶν καὶ ἐθίμων αὐτῶν. Ἐν τῇ διαμάχῃ ταύτῃ ὑπεκρύπτετο πρὸ πάντων ἡ θεωρία τῆς ἀποκλειστικότητος· δι' αὐτῆς ἑρμηνεύεται ἐντελῶς καὶ ἡ ἔκφρασις τῆς ἐπιστολῆς τοῦ πάπα Ἰωάννου τοῦ Η΄ ὅτι καὶ ἐν πάσαις ταῖς ἄλλαις διδασκαλίαις καὶ τοῖς δικαιώμασι τῆς Ἐκκλησίας ὀρθόδοξον καὶ δόκιμον καὶ ὠφέλιμον αὐτὸν ἀνεῦρε, καὶ ἡ στάσις τῶν φράγκων ἐπισκόπων ἀπέναντι τῶν ἱερῶν ἐκείνων ἀνδρῶν, ὧν καὶ τὴν διδασκαλίαν περὶ τοῦ ἁγίου Πνεύματος ὡς αἵρεσιν παρίστων οἱ πανιερώτατοι ἐκεῖνοι, καὶ τὴν ἐμμονὴν ἐν τῇ χρήσει τῆς σλαυονικῆς γλώσσης εἰς τὴν λατρείαν τοῦ Θεοῦ ὡς ἄρνησιν αὐτόχρημα τοῦ χριστιανισμοῦ ἐχαρακτήριζον, καὶ τελείαν ἐπὶ τέλους σταυροφορίαν κατὰ τῶν μαθητῶν αὐτῶν ἤγειραν, ὅπως καθαρίσωσι βεβαίως τὸ ἔδαφος ἀπὸ τῆς λύμης τῆς ἀνατολικῆς ἢ, ὡς αὐτοὶ ἔλεγον, τῆς ἑλληνικῆς κακοδοξίας, ἣν εἰς τὰ τέκνα τῶν

ζητε πάντες τοὺς τῇ ἱερωσύνῃ κεκοσμημένους, ὅσοι ἀπαγγέλλουσι τὴν ἱερὰν ἀκολουθίαν κατὰ τὸ ἦθος τῆς ῥωμαϊκῆς ἐκκλησίας νὰ φυλάττωσι τὰ ἐν αὐτοῖς διοριζόμενα ἕκαστος ἐν ταῖς ἰδίαις ἐκκλησίαις, ἐπαρχίαις, πόλεσι, διοικήσεσι καὶ μοναστηρίοις» (βλ. μετάφρασιν τῆς ἐγκυκλ. ἐν τῷ Νεολόγῳ ἔνθ. ἀν.).

ὡραιοτάτων ἐκείνων χωρῶν οἱ δύο ἀοίδιμοι ἐκεῖνοι διδάσκαλοι τῆς Ἀνατολῆς ἐκόμισαν.

Δυστυχῶς ὁ αὐτὸς περίπου τρόπος τοῦ σκέπτεσθαι καὶ θεωρεῖν τὰ πράγματα ἀπαντᾷ παρὰ τοῖς Κατολίκοις καὶ ἕως τῆς σήμερον, ἀλλὰ μετὰ διαφορᾶς λίαν σπουδαίας καὶ ἀξιοσημειώτου. Οἱ καθ' ἡμᾶς Κατόλικοι οὐδαμῶς πλέον χαρακτηρίζουσι, καθάπερ τὸ πρῶτον οἱ φράγκοι ἐπίσκοποι καὶ μετ' αὐτοὺς καὶ αὐτὴ ἡ ἀποστολικὴ ἕδρα τῆς Ῥώμης, ὡς παρακατιόντες ὀψόμεθα, τοὺς ἀδελφοὺς τούτους ὡς αἱρετικούς· ἀνάγκην τούτου οὐδεμίαν σήμερον ἔχουσι· τοὐναντίον οὗτοι ἀναχηρύττουσιν αὐτοὺς ὡς τελείους ἁγίους, καὶ ἁγίους κατολίκους· διότι τούτου μάλιστα σήμερον ἀνάγ η μεγίστη ὑπάρχει, περιορίζοντες τὴν μεταξὺ τῶν φράγκων ἐπισκόπων καὶ τῶν ἀδελφῶν διαμάχην ἁπλῶς καὶ μόνον σχεδὸν ἐν τῇ χρήσει τῆς σλαυονικῆς γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ.

Τὴν διάφορον καὶ ὅλως ἀντιρατικὴν κατὰ τοῦτο σχέσιν τῶν δύο τούτων θεωριῶν διεῖδον πάντως οἱ ἡμέτεροι ἀναγνῶσται καὶ ἐν τῇ ἐγκυκλίῳ τοῦ μακαριωτάτου Λέοντος τοῦ ΙΓ' καὶ μεθ' ὅλας τὰς προσπαθείας, ἃς κατέβαλον ἐπὶ τούτῳ οἱ περὶ αὐτὸν τεχνικώτατοι γραμματεῖς πρὸς περικάλυψιν αὐτῆς, ἐν οἷς τὰ περὶ λογομάχων καὶ καινοτόμων καὶ κατηγόρων τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδίου ἀναφέρουσιν· ἀλλ' ἵνα καταφανεστέρα γένηται ἡ σχέσις αὕτη, οὐδαμῶς ἡγούμεθα περιττὸν διατρῖψαι ἐπ' ὀλίγον καὶ περὶ τὴν θείαν λατρείαν, ἧς χρῆσιν ἐποιήσαντο σλαυονισταὶ ἐν ταῖς χώραις ἐκείναις οἱ ἐξ Ἀνατολῆς ἀπόστολοι τοῦ Χριστιανισμοῦ. (ἀκολουθεῖ).

ΜΝΗΜΕΙΩΝ ΓΡΑΠΤΩΝ ΠΕΡΙΣΥΝΑΓΩΓΗ (*)

Ἐν τῇ τεργεσταίᾳ ἐκδόσει δὲν ἀπαντᾷ καὶ ἡ ὑπ' ἀριθμ. ρλα' τοῦ πατρ. χειρ. ἐπιγεγραμμένη «τῷ ἐπεράστῳ μοι Νικολάῳ χαίρειν» καὶ ἔχουσα ὧδε.

« Τοῖς σοῖς ἐντετυχηκὼς λατινικοῖς γράμμασιν ἥλατό μοι ἡ καρδία καὶ θυμηδίας ἀνάπλεως ὑπερήλατο, καὶ περιπτυσσομένῳ τὰ γράμματα εἰς ἄκρα τὰ χείλη συνεκέχυτό μοι ἡ ψυχὴ προσλιπαροῦσα τοῖς νοήμασι καὶ ταῖς φράσεσι προστετηκυῖα τῷ κάλλει τοῦ λόγου καὶ τῷ κάλλει τοῦ χαρακτῆρος· καὶ ἐμφυεῖσα ὀλίγου δεῖν ἀναπόσπαστος ἐνεπλάκη τοῖς γράμμασι· μόλις δὲ μετὰ πολὺν χρόνον ἀναστρέψασα ὑφ' ἡδονῆς δάκρυσι καὶ στεναγμοῖς τοῦ φίλτρου τοῦ ἐκ τῶν γραμμάτων εἰς τὸ ὑπερβάλλον ἐξαφθέντος τὴν ἀκρότητα διεμαρτύρετο, ὦ ἐμὸν ἄγαλμα, ὦ ἐμὴ ἀγλαΐα, ὦ ἐμὴ τρυφὴ καὶ πανήγυρις, ζῇθι καὶ πρόσω προκοπῇ καὶ ἡλικίᾳ μετάβηθι».

Ἐπίσης καὶ ἡ ὑπ' ἀριθμ. ρλδ' τοῦ πατρ. χειρ. ἐπιγεγραμμένη «ἀνωνύμῳ» δὲν ὑπάρχει ἐν τῇ τεργ. ἐκδόσει. Αὕτη ἔχει ὡς ἑπομένως.

«Τὴν τιμίαν ἐπιστολὴν τῆς σῆς εὐγενείας δεξάμενος τοσαύτης θυμηδίας ἐνεπλήσθην, ὅσος εἶχέ μοι πόθος αὐτῆς· τῆς γὰρ ὑγιείας καὶ εὐημερίας τῆς σῆς ἐφετὴς οὔσης ἐμοί, λίαν ἐφετὰ καὶ τὰ γράμματα ὡς αὐτὰς παραδηλοῦντα. Ἀναγνοὺς δὲ τὰ γράμματα εὗρον ἐν αὐτοῖς ἐζωγραφημένην τὴν εἰς ἐμέ σου στοργὴν καὶ εὔνοιαν. ἀνθ' ὧν χάριτας οἶδα μεγάλας μὲν τὰς νῦν ἐν λόγοις, μείζους δὲ τὰς ἐν ἔργοις, ἔπειτ' ἐφέξω, ὁπότε μοι χορηγήσῃ τὰς ἀφορμὰς· διὰ παντὸς δὲ τὰς μεγίστας ἐν τῇ ψυχῇ καὶ ἐφ' ὅρου ζωῆς συμπεριοίσω, ὥστε σοι εἶναί με καὶ λόγῳ καὶ ἔργῳ καὶ ψυχῇ· τάχα δὲ μηδὲ μετὰ θάνατον τῶν τῆς λήθης γεύσομαι νεμάτων, ἀλλ' ἀείμνηστος ἔσῃ μοι καὶ πολὺς ἔν τε τῇ ψυχῇ, ἔν τε τοῖς χείλεσιν, ἢ ὅτῳ ἂν ἔξεστι λόγῳ ἐπευφημούμενος καὶ στεφανούμενος. Σὺ δὲ μὴ ἀπίστει τῷ παθήματι τούτῳ, ἀλλὰ πάντα τῷ πόθῳ καὶ τῇ στοργῇ πιστεύων, ἐὰν μὴ ἀντιφιλεῖν παύσῃ, τὰ ἴσα καὶ ὅμοια πείσῃ καὶ τὴν πάθην διαβεβαιώσῃ τῇ πείρᾳ, ὁπόταν τοῖς ἐμοῖς ἐντύχῃς γράμμασι· καὶ γάρ τοι καθαρὸν οἷόν τι κάτοπτρον ἡ ἀγάπη τῆς ἐποφθαλμιώσης εἰκόνος τὴν ἀντίτυπον ἰδέαν ὑπεκφαίνει. Ἔρρωσο».

Ἡ ὑπ' ἀριθμ. ρλγ' τοῦ πατρ. χειρογρ. εἶνε ἡ αὐτὴ τῇ ὑπ' ἀριθ. 18 ἐνσελ. 23 καὶ ἐπ. τῆς τεργ. ἐκδ., ἡ δὲ ὑπ' ἀριθ. ρλδ' ἡ αὐτὴ καὶ ἡ ὑπ' ἀριθ. 3 ἐν σελ. 6, καὶ ἡ ὑπ' ἀριθ. ρλε' ἡ αὐτὴ τῇ ὑπ' ἀριθ. 22 ἐν σελ. 28 καὶ ἐπ. Ἐν τῇ τεργ. ἐκδ. δὲν ἀπαντᾷ ἡ ὑπ' ἀριθ. ρλς' τοῦ πατρ. χειρογρ. ἐπιγεγραμμένη «Σεβαστῷ τῷ διδασκάλῳ» καὶ ἔχουσα ὧδε.

«Τὰ σὰ γράμματα τὰ ἔναγχος ἐπισταλέντα τὸν ἐμὸν πόθον ἐνέπλησε, καίτοι καὶ πέραν τοῦ πόθου διέθετο τὴν ψυχὴν ἐκνενικηκότα τοῖς ἐνθυμήμασι καὶ νοήμασι, διακηλήσαντα καὶ καταθέλξαντα τῇ..... καὶ ἡδύτητι, ἐμπλήσαντα τῇ μεστότητι καὶ τῇ δεινότητι. Καί γε ὡς ἀληθῶς αὐτὰ γέμει σοβαρᾶς ἐμβριθείας καὶ ἀγχιστρόφου περινοίας, τῆς οὐκ εὐμαθοῦς ἀλλὰ δυσευρέτου συζυγίας καὶ κατὰ τὸ ἀττικὸν ἦθος ἐς τ' ἄκριβὲς ἀπέξεσται καὶ ἐν βραχεῖ περιπολοῦνται. Χόρον ὅλον ἔχει Μουσῶν οὔτε τῷ περιττῷ καὶ ὑπερβλύζοντι διοχλούμενα κατακόρως, οὔτε τῷ ἐλλείποντι καὶ συνεσταλμένῳ δι' ἔνδειαν ὀκλάζοντα, ἀλλ' ἐπ' ἀμφοῖν ἱστάμενα καὶ δι' ὅλου τοῦ ὕφους ἀκλινῶς βαδίζοντα μετὰ λαμπρότητος καὶ εὐπρεπείας, καὶ διὰ ταῦτα θυμηδίας ἐμφοροῦντα πολλῆς οἷον ὑμηττίου μέλιτος γευσαμένοις. Ἀμέλει καὶ γέγονεν αὐτὰ κατὰ τὰς ἐκ περιτροπῆς ἐπανηκούσας ἑορτὰς τοῦ ὑπερφυοῦς τόκου τοῦ ἐν ἀνθρώποις ὑπὲρ ἄνθρωπον ἑορτὴ καὶ πανήγυρις. Ὦ τῆς εὐμουσίας, εὖγε τῆς ἐμμελείας· τὰ δεδραγμένα δράσομεν, ὦ γαθέ, ἂν σε πάλιν ἐπιχειρήσωμεν ἐκπαιδεῦσαι. Ἀλλὰ ζῇθι τῇ Ἀθηνᾷ, ζῇθι καὶ ἡμῖν τοὺς χρυσορρήτους κρουνοὺς ἀπ' αὐτῆς ἀρυόμενος καὶ ἐξαντλῶν καὶ τοῖς διψῶσι διοχετεύων, οἷς ὑποβρύχιοι καὶ λιπαινόμενοι διαρρέομεν καὶ διαρρέοιμεν ἐπὶ μήκιστον. Ἔρρωσο».

Ἡ ὑπ' ἀριθ. ρλζ' τοῦ πατρ. χειρογρ. εἶνε ἡ αὐτὴ καὶ ἡ ὑπ' ἀριθ. 59 ἐν σελ. 95 καὶ ἐπ. τῆς περγ. ἐκδ., ἀλλ' εἰς ταύτην δὲν εὕρηται ἡ ὑπ' ἀριθ. ρλη', ἥτις ἐπιγεγαμμένη «ἀνωνύμῳ» ἔχει ὡς ἕπεται.

«Τὸ δάνειον εἰλήφως, ὦ καλέ, διὰ πολλῆς ἐπιμελείας

(*) Συνέχ. καὶ τέλ. τῶν ἐπιστολῶν Μαυροκορδάτου (Ἰδ. Ἐκκλ. Ἀλήθ. τεύχ. Ζ'.)

τί ῥᾳθυμεῖς ἀποδιδόναι, καὶ τῷ αἰτοῦντι διαγανακτεῖς ὡς ἀμφιγνοοῦντι καὶ ὡς οὐχὶ πιστεύοντι ἀφ' ὅτου καὶ τὸ μυριοπλάσιον ἐμπιστευθείης; Ἀλλὰ συγχέειν ἐμοὶ διὰ ταῦτα καὶ συγκυκᾶν πράγματα ἐκ φύσεώς γε παρηλλαγμένα καὶ διαφέροντα. Δεῖ δὲ τοὺς φρενήρεις καὶ νουνεχεῖς καὶ ἀρετῇ συζῶντας, κάνταῦθα μάλιστα νόμους δικαιοσύνης τηροῦντας, ἑκάστῳ τὸ ἀνῆκον ἀπονεῖμαι. Ἀπονέμωμεν δὲ μὴ μόνον ἀνθρώποις τὸ δίκαιον, ἀλλὰ καὶ πράγμασιν αὐτοῖς τὴν ἰδίαν αὐτῶν φύσιν σώζοντες ἀσύγχυτον. Κάμοὶ τῶν πραγμάτων οἱ ὁρισμοὶ, οἵ γε ἀληθεῖς δικαιότατοι νομίζονται τὴν ἑκάστου τινὸς οὐσίαν οἱ παρέχοντες. Καὶ τῶν ὁρίων ἄρα τῆς γῆς οὐχ ἧττον οἱ ὁρισμοὶ σεβέσθωσαν καὶ ὡς ἱεροὶ καὶ θεῖοι ἀνέπαφοι καὶ ἄθικτοι τηρείσθωσαν· καὶ ἄλλη γοῦν ἡ τῆς ἀγορᾶς φύσις, ἄλλη ἡ τοῦ δανείου, ἄλλη ἡ τῆς παρακαταθήκης καὶ ἄλλως ἐναλλαγῆς, ἄλλη τις οὐσία—καὶ ὑπόστασις.—Κἀγὼ μὲν οὕτω ποιῶν τούς τε νόμους τηρῶ καὶ τὰς φύσεις τῶν πραγμάτων φυλάσσω, καὶ δικαιοσύνην γεραίρω καὶ τὴν αὐτῆς τριτάνην οὐ διχάζω. Σὺ δὲ ταῦτα συμφύρας καὶ μηδένα γοῦν ἀδικῶν, ἀλλὰ τὰς φύσεις τῶν πραγμάτων ἠδίκησας καὶ ἔοικας ὅλως κενταύρους καὶ χιμαίρας παραδεχόμενος. Τοῦτο γὰρ ἡ ἀτοπία καὶ ἡ κατὰ τὴν ὕπαρξιν ἀμηχανία οὐκ ἄλλοθεν ἀπορρεῖ ἢ ἀπὸ τῆς ἀδυνάτου συνθέσεως τῶν ἑτερογενῶν φύσεων. Δεῖ δὲ τὰ τοιαῦτα φεύγοντας μὴ μόνον ἐν τοῖς ἐκτὸς ὑφεστῶσιν, ἀλλὰ καὶ ἐν πράξεσι καὶ ἐν λόγοις καὶ ἐν λογισμοῖς αὐτοῖς τοῖς τοιούτοις παραχαράγμασιν ἀπαρέσκεσθαι.

Καὶ ἡ ὑπ' ἀριθ. ρλθ΄ τοῦ πατρ. χειρ. δὲν ὑπάρχει ἐν τῇ τεργ. ἐκδ. Αὕτη ἐπιγεγραμμένη «ἀνωνύμῳ» ἔχει ὡς ἀκολούθως·

«Ἀπόδεξαι τὸν παρόντα γραμματοφόρον φιλανθρωπίᾳ καὶ τῇ ἐμφύτῳ σοι εὐμενείᾳ, ᾗ χρῇ πρὸς ἅπαντας, ὁπόσοι τῆς σῆς ἐπιδέονται βοηθείας· καὶ ὁ μὲν τὴν εἰς τὸ εὖ ποιεῖν ἑτοιμότητα καὶ προθυμίαν ἀκηκοὼς πλείστην ὅσην ὠφέλειαν εὑρεῖν ἐλπίζει, οἶδα δὲ καλῶς καὶ τὴν δόξαν ὑπερβαλεῖ καὶ τὰς ἐλπίδας αὐτοῦ. Καὶ δῆτα αὐτὸν μὲν ἔξεις ἀντὶ πολλῶν ἄλλων ἐπαινέτην, ἐμὲ δὲ μηδὲν μεῖον τῆς εἰς αὐτὸν εὐποιίας ὀφειλέτην. Ἔστι γὰρ ἀπὸ μακροῦ χρόνου οἰκεῖος ἐμὸς, καὶ τῆς εἰς ἐμὲ διηνεκοῦς θεραπείας, ἃς αὐτῷ χάριτας ὀφλισκάνω, ταύτας σοι διομολογήσω, μὴ χρεωκοπήσας, ἀλλὰ μεταθεὶς τοὔφλημα· οἱ νέοι γὰρ δανεισταὶ τῶν παλαιτέρων μᾶλλόν εἰσιν ἡπιώτεροι. «Ἔρρωσο».

Ἐπίσης δὲν ἀπαντᾷ ἐν τῇ τεργ. ἐκδ. καὶ ἡ ὑπ' ἀριθ. ρμ΄ τοῦ πατρ. χειρ. ἥτις ἐπιγεγραμμένη ὁμοίως «ἀνωνύμῳ» ἔχει ὡς ἑπομένως·

«Πάντες κεχαρισμένοι καὶ πάντες ὅσοι τοῖς σοῖς ἐφοδιάζονται γράμμασιν ὡς ἐμὲ φοιτῶσι καὶ τῆς δεούσης ἐπιτυγχάνουσιν ἀποδοχῆς· καὶ οὓς ἂν δυναίμην, τοῖς ἔργοις ὀφελεῖν ἀποπειρῶμαι, ὧν δὲ μὴ τοῖς πράγμασιν ἔχω συναντιλαβέσθαι, ἀλλά γε τὴν ἀποτυχίαν ἐκμειλίσσομαι, καὶ ἡ λόγων δύναμις ἀπόχρη, τὸ διαμάρτημα διακηλῶ καὶ τὴν ἐκ τούτου κολάζω πικρίαν, ὥστε μὴ στενάζοντας ἀποδημεῖν, καὶ τὴν εὐτυχίαν αὐτῶν ἢ τὴν ἐμὴν εἰσδεικνύναι προαίρεσιν· οὔτε γὰρ οἱ νόμοι διδόασιν ὅσα βουλόμεθα, ἀλλ' ὅσα τοῖς τιθεμένοις αὐτοὺς ἀνέκαθεν ἔδοξεν ἐπιεικῆ καὶ κοινῇ λυσιτελῆ. Σὺ γοῦν, ὦ φιλότης, μὴ παύου συνιστῶν, οὓς ἂν βούλῃ, ἐγὼ δὲ ὠφελῶν οὓς ἂν δυναίμην οὐ παύσομαι. Εἴθε δὲ εἴη τῇ βουλήσει τῇ σῇ ἰσοφαρὴς ἡ ἰσχὺς ἡ ἐμή. «Ἔρρωσο».

Ἡ κατόπιν ὑπ' ἀριθ. ρμα΄ τοῦ πατρ. χειρ. εὕρηται ἐν σελ. 55 καὶ ἐπ. τῆς τεργ. ἐκδ. σεσημειωμένης ὑπ' ἀριθ. 31, ἡ μετ' αὐτὴν ὅμως ὑπ' ἀριθ. ρμβ΄ τοῦ πατρ. χειρ. δὲν ἀπαντᾷ ἐν τῇ τεργ. ἐκδ. Αὕτη ἐπιγεγραμμένη «ἀγιορίτῃ τινὶ κακογήρῳ» ἔχει ὧδε·

«Τί μέμηνας οὕτως; Ἄτε δὴ πάσαις ἐριννύσιν ἐξοιστρούμενος, καὶ τὴν βλάσφημόν σου κεκίνηκας γλῶτταν κατὰ τοῦ δημιουργοῦ τοῦ πλάσαντός σε καὶ ἀναπλάσαντος καὶ ἀνοιγνύντος σοι τὰς πύλας τοῦ παραδείσου. Τὸ γὰρ ἀναίδην τοσοῦτον ἐξαντλῆσαι φλήναφον κατὰ τῆς ἐκκλησίας, κατὰ τοῦ ἱεροῦ θιάσου τοῦ τὴν ἡμετέραν ἐπιτραπέντος κηδεμονίαν καὶ πρόνοιαν καὶ τὸ σύνολον τῆς ἡμῶν σωτηρίας, τί ἄλλο ἂν εἴη ἢ θεοσυλεῖν ἀναίδην; Πάντες ἐνταῦθα περρίκαμεν τὴν λύσσαν, ἣν ἄρτι νενόσηκας, ἀκηκοότες· καὶ ἀντὶ πάντων ἐπιστέλλεταί σοι ταῦτα βραχέα μὲν ἄττα, ἀλλ' ἱκανὰ κολάσαι σου τὸ περιμανὲς καὶ ἔκφρον, ἢν ἔτι σοι λοιπὸν ἴχνος συνειδήσεως τῆς εἰς μεταμέλειαν μεταπεμπομένης, ψυχὴν ἔναγχος ἀφηνιάσασαν καὶ πρὶν εἰς ἀπόνοιαν ἐξοκεῖλαι διατεμεῖν ἀρκοῦντα τὸ τραῦμα. Ἐν ἀδιαιρέτῳ κεῖται ἡ πίστις, καὶ εἰ τῷ ἀψευδεῖ στόματι τοῦ Κυρίου πεπίστευκας, ξύνολον αἰχμαλώτισαι τὸ πνεῦμα, καὶ μηδαμῶς μηδ' ἀντιλέγειν ὑποτάγηθι καὶ ἐξίσου καθομολόγει πάνθ' ὅσα πιστεύειν ἐδιδάξατο καὶ μὴ τοῦτο μᾶλλον ἢ ἐκεῖνο· ἐπὶ μιᾷ γὰρ ἐρήρεισται ταῦτα πάντα ἀληθείᾳ, εἰ ἀληθὴς ὁ τοῦ Δεσπότου λόγος, καὶ σέβου καὶ γέραιρε τὴν κοινὴν τῆς πίστεως διδάσκαλον, τὴν τοῦ Χριστοῦ ἐκκλησίαν, ἧς οὐ κατισχύσουσι πύλαι ᾅδου, ἣν τῷ ἁγίῳ Πνεύματι χειραγωγουμένην ἀναμάρτητον ἴσμεν· εἰδὲ μὴ καταδηλοῦν οἴεσαι νοῦν ἔκφρονα, τῇ ἐκκλησίᾳ τί φρυάττῃ; τί βρενθύῃ; τί κόπους παρέχεις σεαυτῷ καὶ ἡμῖν; Ἀπορράγηθι τοῦ μητρικοῦ κόλπου· ἴθι ψυχῇ καὶ σώματι ὅπῃ σε κακοδαίμονες ἀπάγουσιν, εἰς βυθὸν ἀπωλείας· μακρὰν ἀπόστηθι τοῦ κοινοῦ τῶν χριστιανῶν· καὶ χαῖρε τῇ ἀνέκαθεν εὐσεβείᾳ εἰπών, ἄπιθι ὅποι βούλῃ, εἴτε εἰς ἀθεΐαν εἴτε εἰς ἀλλοπιστίαν· ἀμφότερα γὰρ εὐθὺ φέρουσιν εἰς γέενναν· καὶ τὴν Χριστοῦ ποίμνην ὅστις ἀφεῖλετο, μοίρας ἐγένετο τοῦ σατανᾶ. Καὶ μηδέν ἐστι μεταξὺ μεταίχμιον, ἀλλ' ἀδιαίρετος μία γραμμὴ διαιρεῖται, μερίδα διίστησι τοῦ..... τὸ ἀπολωλός. Καὶ σὺ γοῦν ἢ τὸ νηφάλιον ἀνάλαβε καὶ τῶν πρώτων δογμάτων ἀπρὶξ ἀντέχου, ἢ τούτων, εἶπα φρεναπατηθείς, ἀποσταίης, καλῶς ἐπίστασο ἄμοιρόν τέ σε καὶ τοῦ κακοδαίμονος ἄθλιον ἀνδράποδον εἰς μακραίωνα».

Ἡ μὲν ὑπ' ἀριθ. ρμγ΄ τοῦ πατρ. χειρ. εἶνε ἡ αὐτὴ τῇ ἐν σελ. 10 καὶ ἐπ. τῆς τεργ. ἐκδ. ὑπ' ἀριθ. 7 σεσημειωμένη, ἡ δὲ ὑπ' ἀριθ. ρμδ΄ ἡ αὐτὴ καὶ ἡ ὑπ' ἀριθ. 67 ἐν σελ. 112 καὶ ἐφεξ. τῆς αὐτῆς ἐκδόσεως. Ἡ ὑπ'

ἀριθ. ρμε' τοῦ πατρ. χειρ. δὲν ὑπάρχει ἐν τῇ τεργ. ἐκδ. Αὕτη ἐπιγεγραμμένη «ἀνωνύμῳ» ἔχει ὡς ἀκολούθως·

«Βαρὺν ἀράμενος πόλεμον κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας καὶ τῶν πολεμίων τῆς ἐκκλησίας τῶν ὑπὲρ τοὺς Φιλισταίους ἠγριωμένων, μέγαν ὑπεστήσω κίνδυνον, καὶ Γεδεῶνι ταὐτὰ παθεῖν παρ' ὀλίγον ἐλήλυθας καὶ συναπολέσθαι τοῖς καταστρεφομένοις. Ἀεὶ κἂν τούτῳ σου τὴν ἀνδρείαν οὐχ ἧττον ἢ τὴν τύχην στεφανοῦμεν, ἅτε δὴ καὶ καταπολεμήσαντος καὶ δαιμονίως ἐπιζήσαντος. Ἔρρωσο».

Ἐπίσης δὲν ἀπαντᾷ ἐν τῇ τεργ. ἐκδ. καὶ ἡ ὑπ' ἀριθμ. ρμς' τοῦ πατρ. χειρ. ἥτις ἐπιγεγραμμένη «Τῷ πρωτεκδίκῳ Χουρμούζῃ» ἔχει ὧδε.

«Τῶν ὑπειργμένων ὑπουργημάτων τὴν μνήμην ἐμοὶ πολλάκις ἀναρρίπτεις, καὶ ταύτῃ πως εἰς ἀγάπης καὶ εὐποιίας ἐπίδοσιν οἶομαι διαθερμάναι. Ἀλλ', ὦ γαθὲ, ἡ μὲν μεταξὺ στοργὴ θάλλουσα καὶ διανθοῦσα κομᾷ καὶ τοὺς καρποὺς ἀναδίδωσι, καὶ δὴ καὶ ἡ ἔννοια διάπυρός ἐστι καὶ διακαὴς καὶ ζωπύρου οὐ δεῖται, τὸ δὴ καὶ εἰς τὸ εὐεργετεῖν ἐμοῦ πρόθυμον καλῶς οἶσθα. Ἐν τούτῳ διὰ πλειόνων ἁμαρτάνοντα καταφωρῶ, καὶ σαυτὸν μηδὲν ἔλαττον ἀδικεῖς ἢ ἐμὲ, καὶ εἰς αὐτὰς τὰς χάριτας μεγάλως πλημμελεῖς. Τῷ γὰρ ἐμὲ τρόπῳ ὑποτοπάζεις ἀμνήμονα γενέσθαι, καὶ, ὃ μὴ γένοιτο, ἀχαριστίαν ἔοικας δεδοικὼς, ὅς γε καὶ τῶν ἐλαχίστων εὐεργετημάτων μεγάλην φυλάττω μνήμην καὶ τὸν καιρὸν ἐπιτηρῶ τῆς ἀμοιβῆς; Ἀλλὰ σὲ μᾶλλον ἐχρῆν τῶν πεποιημένων ἀμνηστεῖν, καὶ μεγάλως ποιοῦντα, εὐτελῆ ταῦτ' ὑπολαμβάνειν ὥς γε πρὸς τὸ μέγεθος· τοῖς γὰρ μεγαλόφροσι τὰ μὲν μεγάλα διδόμενα μικρὰ, τὰ δὲ μικρὰ λαμβανόμενα μεγάλα φαίνεσθαι πέφυκε. Καὶ εἰς τὰς Χάριτας δὲ βλασφημεῖς ὅτι Εὐρυνόμης εἰσὶ θυγατέρες, αἵ τε ἀπὸ εὐρείας γνώμης καὶ μεγάλης ψυχῆς διδόμεναι, καὶ διὰ τοῦτο καὶ γυμνητείαν ἔχουσιν ὡς ἄπλαστοι καὶ ἀπέριττοι καὶ ἀγναὶ καὶ καθαραί. Παύου τοίνυν τῆς τριτῆς ταύτης ἀδικίας, καὶ εἰ δύνασαι κἂν τοὐπιὸν μὴ παύου εὐποιῶν. Ἐμοὶ δὲ λοιπὸν εἶναι εὖ ἐπίστασο καιροῦ λαχόντι τὰς ἀξίας ἀμοιβὰς ἀποδιδόναι. Καὶ δὴ καὶ τίμα τὰς Χάριτας ὡς ἔχουσι, γεραίρων αὐτὰς, καὶ τὸν τρόπον μιμούμενος, καὶ μὴν καὶ τῆς τρίτης αὐτῶν ἀδελφῆς Εὐφροσύνης διὰ παντὸς ἀπολαύοις».

Καὶ ἡ ὑπ' ἀριθ. ρμζ' τοῦ πατρ. χειρ. ἐπιγεγραμμένη «ἀνωνύμῳ» δὲν ἀπαντᾷ ἐν τῇ τεργ. ἐκδ. Αὕτη ἔχει ὧδε·

« Ὥσπερ ὁ χαλκεὺς τὴν τοῦ χαλκοῦ φύσιν, καὶ ὁ χρυσοχόος τὴν ἰδιότητα τοῦ χρυσοῦ, καὶ τεχνιτῶν πᾶς τις τοῦ ἰδίου ὑποκειμένου τὴν ἐπιτηδειότητα καλῶς εἰδέναι ὀφείλει, οὕτω κἀν τοῖς πολιτεύμασι τῶν ἀρχομένων τὰ ἤθη καὶ τὸν τρόπον εὖ ἐπίστασθαι προσήκει τοὺς ἄρχοντας ἵνα τῶν ἐπιταγμάτων ἐκ ῥᾴστου γένοιντο δεκτικοὶ οἱ ὑπήκοοι, καὶ μὴ ἐπὶ ματαίῳ καὶ παρὰ σκοπὸν καὶ γνώμην περὶ τὴν διοίκησιν αὐτῶν διατρίβουσιν οἱ κρατοῦντες. Ἐπειδὴ δὲ εἴτ' ἐκ φύσεως, εἴτ' ἐκ συνηθείας καὶ τῆς ἐπικτήτου ἕξεως οἱ ἄνθρωποι μονονοὺχ ἅπαντες φίλαυτοί εἰσι, καὶ πλεονέκται, καὶ ὀργίλοι, καὶ ἀχάριστοι, καὶ ὑπερήφανοι, ἵνα τὰ πλείω, ὅσα τούτοις εἰσὶν ἀρεστὰ, παρεάσω, ἡ τούτων ἄγνοια σέ τε, ὦ φιλότης, κἀμὲ πολλάκις ἠπάτησε, καὶ τοῖς ὑπηκόοις οὐκ εὖ ἐχρησάμεθα, καὶ πολλὴν ἡμῖν ὕστερον ἀλλ' ἀνωφελῆ μεταμέλειαν ἐπήνεγκε. Καὶ ἡμαρτηκότες μὲν μεγάλην ὑπέστημεν ζημίαν, νῦν δὲ ὀδυνώμενοι ἀλυσιτελῶς ἀγανακτοῦμεν. Ὅτι δὲ τὰ διηριθμημένα πάθη καταδυναστεύει καὶ κατατυραννεῖ τοῦ ἀνθρωπίνου γένους, οὐδεὶς(κἂν σμικρὰν σχεῖν πεῖραν τῶν ἀνθρωπίνων πραγμάτων) ἀγνοεῖ, καὶ καλῶς ἴσασι πάντες ὅτι φιλαυτίᾳ νενικημένοι πολλοὶ μικρᾶς ἕνεκεν ἰδίας ὠφελείας τὰ κοινὰ προήκαντο, καὶ εὖ ἐπίσταται ὅτι φιλοκερδεῖς εἰσιν οἱ πλείους καὶ ἀναιδῶς αἰσχροκερδεῖς καὶ ταῖς ἐξ ἀδίκου προσθήκαις ἀπληστότεροι γίγνονται, καὶ ὡς συμβαίνει ἐν ὕδρωψιν ἡ πλησμονὴ τοῦ ὑγροῦ αὐξάνει τὴν δίψαν, καὶ γινώσκουσιν ὡς εἰς ὀργὴν εἰσιν εὔφλεκτοι, καὶ ὥσπερ ἐλίγοις ἐναύσμασι ῥᾳδίως ἐξάπτεται ξηρά τις ὕλη, οὕτως ἀπὸ σμικροῦ σπινθῆρος φλεγμαίνουσι, καὶ πυρποληθέντες τὸ προσπίπτον ἀναλίσκουσιν· οὐδὲ λέληθεν ὅτι μυρίων εὐεργετημάτων ἀμνημονοῦσι θυμῷ ἢ μίσει διακαέντες ἀπὸ μικρᾶς ἀφορμῆς καὶ τὸ ἡδὺ πᾶν τῶν πρὶν ὠφελημάτων ὑπ' ἀκρασίας εἰς πικρὰν χολὴν μεταβάλλουσι. Περὶ δὲ τῆς ὑπερηφανίας ὅπως αὐτὴν νενοσήκασι, τί δεῖ καὶ λέγειν; ἐπειδὴ τὰ δευτερεῖα πάντες δυσχεραίνουσι καὶ τοῦ ἄρχειν ἢ τοῦ εἰδέναι γλίχονται μᾶλλον, καὶ ταύτῃ τῇ κακίᾳ παρομαρτεῖ ἰταμότης, δυσπάθεια, καύχησις, προπέτεια, ἀβουλία, τόλμα, θρασύτης, ἔρις, ἅμιλλα, καὶ ὅσα ἀριθμοῦσιν ὁ χρόνος ἐπιλείψει. Τοιοῦτον ἄρα τῶν ἀνθρώπων μονονοὺ πάντων πέφυκε τὸ ἦθος, ὃ καὶ φιλανθρωποτάτους τινὰς εἰς μισανθρώπους καὶ Τίμωνα τὸν ἐπὶ ἀπηνείᾳ καὶ ὠμότητι περιβόητον μετεποίησε. Καὶ τοῦτο ἄρ' οὖν πολλοί τινες ἡγεμόνες ἐπιεικεῖς καὶ χρηστοὶ καὶ εὐνοϊκοὶ καὶ δίκαιοι καὶ συνετοὶ κατὰ τὰς ἀρχὰς γενόμενοι, ὕστερον ἀπιστίᾳ καὶ βαρύτητι καὶ πικρίᾳ πολλοὶ περιέπεσον, καὶ μὴ πάνυ καλῶς τὰς δυνάμεις εἴλοντο περιελεῖν αὐτοὺς, οὓς πρότερον μεγάλην ἰσχὺν περιέβαλον, τοὺς παρ' ἐκείνων δῆθεν κινδύνους ἀντὶ τῶν εὐεργετημάτων ὑπονενοηκότες, καὶ δευτέρῳ ἁμαρτήματι τὸ πρότερον ἐξαλεῖψαι σφάλμα βουληθέντες ἥμαρτον. Ἡ γὰρ οὐ μεγαλως εὐποιητέον, ἢ τὸ ἀχάριστον ὑπομενητέον. Καὶ ταῦτά σοι τῷ περισπουδάστῳ δεδήλωκα οὐκ εἰς μίμησιν αὐτὰ προθέμενος, ἀλλ' ἵνα πρὶν παθεῖν τὰς ζημίας εὐλαβούμενος ᾖ, καὶ μὴ πάλιν πρός με ὅσα καὶ νῦν ἐποδύρῃ. « Ἔρρωσο ».

Ὁμοίως δὲν ὑπάρχει ἐν τῇ τεργ. ἐκδ. καὶ ἡ ὑπ' ἀριθ. ρμη' ἐπιγεγραμμένη «ἀνωνύμῳ» καὶ ἔχουσα ὡς ἑπομένως.

«Μεγάλην ἀθυμίαν ἐπήνεγκέ μου τῇ ψυχῇ τῆς ἐπισκηψάσης σοι νόσου τὸ μήνυμα, καὶ τὰς ἀλγηδόνας ἀναγινώσκων ἐν τοῖς γράμμασιν, ἅπερ ἐκομισάμην, δάκρυσιν αὐτὰ κατέβρεξα, καὶ τῶν ὑπὸ τοῦ ἄλγους τοῦ σώματος ῥευσάντων σοι δακρύων οὐκ ἐλάττω ἐχυθῆναί μου τῶν ὀφθαλμῶν ἡ τῆς ψυχῆς ὀδύνη παρεσκεύασεν. Οὕτω δηλαδὴ τῷ πρὸς σὲ φίλτρῳ ὅλως ἐκτέτηκα καὶ σύμπνους εἰμὶ, καὶ περιφέρομεν μίαν ἐν δυσὶ σώμασι ψυχήν· καὶ καθάπερ αὐτὴ τοῖς θεόθεν ἐπιβραβευομένοις ἀγαθοῖς συγχαίρει καὶ συνήδεται, οὕτω τοῖς ἐναντίοις συνανιᾶται καὶ συναλγεῖ.

Ἐκεῖνο δέ σου καταμέμφομαι ὅτι τῶν φροντίδων τὸ μέγεθος εἰς τοῦτο πάθος σε καταβαλεῖν ὀλοφύρῃ, καὶ ὡς ἀληθῶς εὐστόχως αἱ μέριμναι μελεδῶνες καλοῦνται· κατάγουσι γὰρ τὰ μέλη καὶ καταβιβρώσκουσιν αὐτά. Ἀλλὰ σέ γε ἔδει οὕτω πως τῶν πραγμάτων φροντίζειν, ὥστε μὴ ἐν ἥττονι λόγῳ τεθεῖσθαί σοι τὴν μέριμναν τῆς ὑγιείας, ἐπειδὴ γὰρ ἀγαθῶν ἐστιν κρηπὶς, ὅσῳ μείζονα λόγον ποιοῦσιν οἱ νουνεχεῖς ἀεὶ τῶν θεμελίων, τοσούτῳ πλείονα πρόνοιαν τῆς ὑγιείας ἔχειν ὀφείλομεν· αὐτῆς γὰρ θαρρείσης οἴχεται πάντα, ὑπὲρ ὧν οἱ ἄνθρωποι τὰς σπουδὰς εἰώθασιν ἀνατεῖναι. Καὶ ἀξίαν τοίνυν καὶ πλούτη καὶ τὸ πάντων ἥδιστον, καὶ ἐπιστῆμαι μηδεμίαν φέρουσιν ὠφέλειαν, καὶ δὴ καὶ μηδέν ἐστιν ὑγιείας ἀντάλλαγμα, οὐδὲ εἰ καὶ τὸν κόσμον κερδήσομεν ὥς γε κατὰ τὸν ἐπίκηρον βίον. Ποίας γὰρ ἡδονῆς αἰσθανόμεθα ἀπὸ πολυτελῶν βρωμάτων καὶ πομάτων; ἢ τί ὠφελοῦσιν αἱ μαλακαὶ στρωμναὶ καὶ οἱ χρυσοῦφεῖς τάπητες, καὶ τὰ σηρικοῖς καὶ χρυσοῖς νήμασι διαπεποικιλμένα ἐπιβλήματα, καὶ τίς αἴσθησις καὶ ἀπόλαυσις μεγάλης οἰκίας, λιθοστρώτου στοᾶς, εἰς κάλλος ἀπεξεσμένοις κίοσι καὶ ποικιλίᾳ χρωμάτων περιηνθισμένοις ἐπερειδόμενος ὄροφος; ἢ..... καὶ παντοδαπὰ φυτοκομίαι, ἢ λειμῶνες εὐανθεῖς; ἢ ἀειθαλὴ δένδρα, ἢ ᾠδικῶν ὀρνίθων κατὰ μουσικὸν εἰρμὸν συμφωνία; ἢ πνοαὶ ζεφύρων; ἢ ῥοὴ καθαρῶν ὑδάτων καὶ τὰ τούτων μείζω θησαυροὺς χρυσοῦ καὶ ἀργύρου ὑπὲρ τὰ Κράτητος καὶ Κροίσου κειμήλια, καὶ μεγατίμων λίθων ἀνεξερεύνητον μέγεθος καὶ πλῆθος; Μὴ παρούσης ὑγιείας πάντα συναπαίρει καὶ μηδεμίαν ὑπόστασιν ἔχει. Καὶ τοιούτων κτημάτων ἡ μετὰ τῆς ὑγιείας πενία τοῖς εὖ φρονοῦσιν αἱρετωτέρα. Καὶ δῆλος εἶ ὅτι μεγάλως ἔπταικας ἕνεκα τοῦ βελτίστου χρήματος ἡμελημένως· καὶ εἴθε ῥαΐσας ἀπὸ τῆς νόσου τοῦτό σοι περιγένοιτο τὸ κέρδος, τὸ φείδεσθαι τῆς ὑγιείας, καὶ εἰς τοὐπιὸν τῶν πραγμάτων φροντίζων ἀμωσγέπως, τὸ λοιπὸν ἀναθεὶς τῇ θείᾳ προνοίᾳ· οἷς γὰρ οὗτος ὁ τρόπος εἰς μακροβιότητα ῥέουσιν, ὦ γαθὲ, καὶ μάταια πάντα παρὰ τὸν βίον, καὶ οὐκ ἀντάξια μεγάλης κηδεμονίας. Ζῶμεν ὅπως δυνάμεθα· τοῦτο μόνον εἴη ἐπιμελὲς, ὅπως ὑγιειῶς ζῶμεν, καὶ τοῖς ὑπάρχουσιν ἀγαπῶντες ἐπὶ μήκιστον αὐτῶν ἀπολαύσωμεν, καὶ ἂν δῷ Θεὸς καὶ μειζόνων ἐγκρατεῖς ἐσόμεθα. Ἔρρωσο».

Ἡ ἐν τῷ πατρ. χειρ. ὑπ' ἀριθ. ρμθ΄ εἶνε ἡ αὐτὴ τῇ ἐν σελ. 27 καὶ ἐρεξ. τῆς τεργ. ἐκδ. ὑπ' ἀριθ. 27 σεσημειωμένη.

Ἡ ὑπ' ἀριθ. ρν' τοῦ πατρ. χειρ. ἐπιγεγραμμένη «τῷ πανιερωτάτῳ μητροπολίτῃ Καστορίας κῦρ Διονυσίῳ» δὲν ἀπαντᾷ ἐν τῇ τεργ. ἐκδ. Αὕτη ἔχει ὡς ἑπομένως.

«Τὴν σπάνιν τῶν γραμμάτων ὡς ἁμάρτημα ἡ σὴ πανιερότης κατηγορεῖ, καὶ νὴ τὴν ἀλήθειαν οὐκ ἀπεικότως· ἐπειδὴ γὰρ τροφὴ φιλίας εἰσὶ τὰ γράμματα, τούτων ἡ στέρησις ἐν ἀτροφίᾳ καταλιμπάνουσα τὰς εὐνοίας ἀδικεῖ. Ἀλλὰ κοινὸν ἐγίνετο ἀμφοτέροις ἡμῖν, καὶ οὐ τοσοῦτον δεῖται συγγνώμης, ὅσον διορθώσεως· ἐπειδὴ τἀναντία τῶν ἐναντίων εἰσὶν ἰάματα, ὥσπερ οἱ τῶν ἰατρῶν θεσμοὶ διδάσκουσι. Θεραπεύσομεν ἀπὸ τοῦδε τὸ πλημμεληθὲν γράμμασι πυκνοτέροις καὶ τὴν εὐζηλίαν ταῖς ἡμετέραις ψυχαῖς ἀγάπῃ τοῖς ἀπὸ λόγου ἐναύσμασιν ἀναζωπυρήσωμεν. Εὖγε δὲ ὅτι αὐτὴ πρώτη ἠκέσατο τὸ πταῖσμα, κἀμὲ μηδὲν ἔλαττον ῥαθυμοῦντα παρώτρυνε καὶ γράφειν ἠνάγκασε. Γράφω δὲ τὰς ἀπὸ μέσης ψυχῆς προσρήσεις, καὶ ἄσμενος αὖθις αὐτὴν περιπτύσσομαι. Ἔχει δὲ καὶ τόδε μήνυμα τερπνὸν ἡ παρ' αὐτῆς ἐπιστολὴ, ὅτι ἀπαλλαγὴν ἐξαγγέλλει δεινῶν τινων, αἷς ἐκακοπάθησε περιπτώσεων. Ἀμέλει μὴ τὰ ἀλγεινὰ κοινώσασα, τὴν μὲν ὀδύνην ἰδίως ἤνεγκε, τὴν δὲ ἡδονὴν καὶ τὴν εὐθυμίαν κοινὴν ἀπέδειξεν, ἧς ἕνεκα τῆς χάριτος πάντων τῶν ἡδέων ἐπὶ μήκιστον αὐτῇ ἐπεύχομαι γενέσθαι τὴν ἀπόλαυσιν, καὶ εἴθε διὰ βίου παντὸς εὐθύμως ἔχοι, ὅπως ἂν ἀεὶ τῶν παρ' αὐτῆς ἡδυτάτων γραμμάτων εὐμοιρείην. Ἐρρώσθω μετὰ θυμηδίας λοιπόν».

Ἐπίσης καὶ ἡ τελευταία ἐν τῷ πατρ. χειρ. ἀπαντῶσα ὑπ' ἀριθ. ρνα΄ δὲν ὑπάρχει ἐν τῇ τεργ. ἀκόδσει. Αὕτη ἀνεπίγραφος οὖσα ἔχει ὧδε·

«Τὴν σὴν ὡς ἄσμενος ἐκομισάμην ἐπιστολὴν τὴν ἀγγέλλουσαν ἡμῖν τὴν ἀγαθὴν ἀγγελίαν τῆς ἀπὸ τῆς νόσου ἀπαλλαγῆς, ἧ τρεῖς ἐτριχοῦτο μῆνας καὶ τῆς εἰς ὑγίειαν καὶ ῥώμην ἐπιστροφῆς. Τῆς τε νόσου γὰρ ἤμεν κοινωνοὶ καὶ συνοδυνώμεθα, καὶ τῆς ὑγιείας αὖ πάλιν μετέχομεν καὶ συναγαλλόμεθα ὅτι κοινὰ τὰ τῶν φίλων καὶ μὴ μόνον τὰ κτήματα ἀλλὰ καὶ τὰ πάθη καὶ αἱ διαθέσεις εἰσὶ κοιναί· καὶ συνεπάσχομεν ἄρα τῇ τε πρότερον ἀνίᾳ καὶ τῇ νῦν εὐθυμίᾳ συνηδόμεθα, ἣν ἐπὶ μήκιστον ἐπιτείναι τὸ θεῖον. Ἐωρτάσαμεν δὲ τὴν κοινὴν ταύτην πανήγυριν οὐ πανοικεὶ μόνον, ἀλλὰ καὶ πανδημεὶ, καὶ πόλιν ὅλην μία κατεῖχε φαιδρότης ἐπὶ τῷ μηνύματι, πάντων εὐημούντων καὶ ἐπευχομένων τῇ ἐπανελθούσῃ ῥώσει πολυχρόνιον διαμονὴν καὶ μέχρι βαθυτάτου γήρως. Οὐ γὰρ ὡς φίλου μόνου ἐπιποθοῦσι τὴν εὐεξίαν, ἀλλὰ καὶ ὡς εὐεργέτου καὶ κοινοῦ κηδεμόνος, ἀφ' ὅτου πᾶσιν ἀναβλύζει παντοδαπὰ ἀγαθὰ, καὶ ὥσπερ ἡ σὴ θαυμασιότης οὐδενὸς φείδεται τῶν ὑπαρχόντων εἰς εὐποιίαν, οὕτω μηδεὶς αὐτὴν οἶδε στερεῖν τῆς προσηκούσης εὐνοίας. Ἐρρώσθω λοιπὸν εἰς μακραίωνας, ἵνα καὶ συνευρωστῶμεν καὶ συνευθυμῶμεν».

Ἐνταῦθα λήγουσιν αἱ ἐν τῷ πατρ. χειρ. ἀποκείμεναι ἐπιστολαὶ τοῦ ἐξ Ἀπορρήτων. Ταύταις παρέπονται δύο εὐχαὶ, τούτων ἡ πρώτη συνετάχθη, ὅπως λέγηται μετὰ τοῦ ἀποδείπνου, καὶ ἔχει ὡς ἑπομένως·

« Ἀνυμνοῦμέν σε ὁ Θεός, ὁ ὑπεράγαθος, ὁ ὑπερούσιος, ὁ ὑπερεράρχιος, ὃς διὰ τὴν ἄπειρόν σου ἀγαθότητα παραβλέψας τὰ πλήθη (τῶν) ἡμετέρων ἁμαρτημάτων, οὐ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀδίκων, οὔτε ζημίαις καὶ λύμαις καθυπέβαλες τοὺς ἀναξίους ἡμᾶς, ἀλλὰ διὰ τοὺς μεγίστους σου οἰκτιρμοὺς τῇ ἐξ ὕψους δυνάμει περιζωσάμενος, ἀπὸ πολλῶν κακῶν καὶ ἀνιαρῶν ἡμᾶς ἁρπάσας καὶ ἔσωσας ἡμᾶς, ἀγαγὼν ἀβλαβεῖς εἰς τὴν τῆς ἐνεστώσης νυκτὸς ἡσυχίαν καὶ ἄνεσιν· φύλαξον οὖν ἡμᾶς τοὺς ἐξυμνοῦντας τὴν ἄπειρόν σου ἀγαθότητα καὶ ἐν τῇ παρούσῃ νυκτὶ, καὶ δὸς ἡμῖν ὕπνον ἀτάραχον καὶ κατεύνασον πᾶσαν ὁρμὴν καὶ πᾶσαν ἀνόσιον ὄρεξιν· χορήγησον ταῖς καρ-

δίαις ἡμῶν κατάνυξιν, καὶ συντριβὴν, καὶ μεταμέλειαν τῶν ἡμερινῶν πλημμελημάτων. Ναὶ, Κύριε, συγχώρησον ἡμῖν τοῖς ἁμαρτωλοῖς τὰ παραπτώματα ἡμῶν τὰ ἐν γνώσει, τὰ ἐν ἀγνοίᾳ, τὰ κατὰ διάνοιαν, τὰ κατὰ λόγον, τὰ κατ' ἐργασίαν· ὅτι οὐδεὶς μὲν ἐνώπιόν σου ἀναμάρτητος, ἡμεῖς δὲ ὑπὲρ πάντας ἁμαρτωλοὺς ἀνομημάτων πλήθει πεφορτισμένοι, ἐν μετανοίᾳ τὴν ἄπειρόν σου ἐλεημοσύνην πιστῶς ἐπικαλούμεθα καὶ ἐν αὐτῇ τὴν ἡμῶν σωτηρίαν ἀδιστάκτως ἐλπίζομεν, καὶ δοξάζομεν τὸ πανάγιόν σου ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν».

Ἡ ἑτέρα γεγραμμένη ἴνα κατὰ τὸν ὄρθρον ἀναγινώσκηται ἔχει ὧδε·

«Ὁ ἐν μονάδι φύσεως τρισσοφαὴς Θεὸς, ὁ ἐκ τοῦ μὴ ὄντος παραγαγὼν τὰ σύμπαντα, καὶ εὐταξίᾳ καὶ συμμετρίᾳ ταῦτα διακοσμήσας, καὶ τῷ ἡλιακῷ φωστῆρι καταυγάσας, καὶ διαπλάσας ἡμᾶς κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, καὶ ἀξιώσας ἡμᾶς μετὰ τὴν νυκτερινὴν ἡσυχίαν ἐγερθῆναι πρὸς τὰς ἡμερινὰς ἐργασίας, αὐτὸς, ὑπεράγαθε Θεὲ, λάμπρυνον τοὺς ὀφθαλμοὺς ἡμῶν, τὰς ἀκοὰς ἡμῶν κάθαρον, τὰς λοιπὰς αἰσθήσεις ἀνάρρωσον, διασκέδασον πᾶσαν ἀχλὺν τῆς ἀμαθείας· φώτισον τὸν νοῦν ἡμῶν τοῖς νεύμασί σου· ὁδήγησον ἡμᾶς ταῖς λαμπηδόσι τῆς θείας σου ἐπιπνοίας πρὸς κρίσιν ἀληθοῦς τε καὶ ψευδοῦς, πρὸς ἀποδοχὴν τῶν ἀγαθῶν καὶ πρὸς φυγὴν τῶν φαύλων, πρὸς αἵρεσιν τῶν ἐπωφελῶν καὶ ἀποδίωξιν τῶν ἐπιζλαβῶν, ὅτι δίχα τῆς θείας σου φωταυγίας πάντως τυφλώττοντες οὐκ ἔχομεν ἀνακρίνειν οὔτε ἐν τοῖς στοχασμοῖς τ' ἀληθὲς, οὔτε ἐν ταῖς πράξεσι τὸ καλὸν, οὔτε ἐν τοῖς αἱρετοῖς τὸ λυσιτελὲς, ἀλλὰ τοῖς πραγμάτων προσχήμασιν ἀπατώμενοι, μυριάκις πλημμελοῦμεν. Ἔγειρον οὖν τὸν μὲν νοῦν πρὸς καταληψιν τῶν ἀναγκαίων, τὴν δὲ γλῶσσαν πρὸς ὑπαγόρευσιν τῶν χρησίμων. Κατεύνασον τὰς ὁρμὰς τῶν παθῶν τὰς καταθολούσας τὸν ἡμέτερον νοῦν. Χαλίνωσον τὸ θυμῶδες, καὶ τὸ παρ' αὐτοῦ φιλόνεικον παῦσον, καὶ τὸ μνησίκακον ἀναίρεσον, μετατρέπων αὐτὰ πρὸς θεῖον ζῆλον, καὶ θεοσεβῆ τῆς πίστεως ζέσιν, καὶ πραότητα, καὶ ἀνεξικακίαν. Κατάστειλον τὸ ἐπιθυμητὸν, καὶ τὸ παρ' αὐτοῦ φιλήδονον καὶ φιλοκερδὲς ἀναχαίτισον, μεταβαλὼν αὐτὰ εἰς μεταποίησιν ἀρετῆς καὶ ἀγάπην τοῦ πλησίον, εἰς ἔρωτα χριστιανικῆς προκοπῆς καὶ ἐπιδόσεως, εἰς ἄφεσιν τῶν αἰωνίων ἀγαθῶν. Κύριε, τῇ τῶν ἀρετῶν μετριότητι διακόσμησον τὰ ἡμέτερα ἤθη· κράτυνον ἀνδρεία καὶ ῥώμῃ τὸ ἀσθενὲς ἡμῶν· σβέσον τὰς τῆς σαρκὸς ὀρέξεις, καὶ πάσης ἀκρασίας καὶ ἀσωτίας ἡμᾶς ἀπάλλαξον, σωφροσύνην ἡμῖν καὶ σεμνότητα δωρούμενος. Χάρισαι ἡμῖν τὴν στάθμην τῆς δικαιοσύνης, τὴν ἑκάστῳ τὸ δίκαιον ἀπονέμουσαν. Στήριξον τὴν ἡμετέραν φρόνησιν ἐν μονιμότητι τῶν ὀρθῶς κρινομένων. Φύλαξον ἡμᾶς, Κύριε, ἀπὸ ἐπιβουλῆς ἐχθρῶν, ἀπὸ αἰφνιδίας λύμης καὶ πτώσεως, ἀπὸ συκοφαντίας πονηρῶν, ἀπὸ ὀργῆς . . . . , ἀπὸ διαβολικῶν πειρασμῶν, καὶ ἀπὸ παντὸς ἀνιαροῦ φρούρησον ἡμᾶς, ὅπως κατὰ τὰς ἐντολάς σου τὸν ὁρόμον τῆς παρούσης ἡμέρας θεαρέστως διανύσαντες, τὸ ὡρηθὲν ἡμῖν τάλαντον ἀκιβδήλως φυλάξωμεν, καὶ διὰ τῆς ἀπείρου σου εὐσπλαγχνίας καὶ ἀμέτρου σου συμπαθείας, ἄξιοι γενώμεθα τῆς θείας σου χάριτος καὶ τῆς ἀϊδίου σου μακαριότητος, ἀνυμνοῦντες ἀκατάπαυστά σε, τὸν Πατέρα, καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνος τῶν αἰώνων. Ἀμήν».

Η ΙΕΡΑ ΜΟΝΗ ΤΗΣ Μ. ΛΑΥΡΑΣ

ΚΑΙ Η ΣΚΗΤΗ ΤΟΥ ΤΙΜΙΟΥ ΠΡΟΔΡΟΜΟΥ (*)

Ἡ ἐκκλησία λαβοῦσα τὴν ἀνωτέρω καταχωρισθεῖσαν ἐπιστολὴν τοῦ τῆς Μολδαυίας ἡγεμόνος δὲν προέβη εἰς οἱανδήτινα ἐπὶ τῆς αἰτήσεως αὐτοῦ ἀπόφασιν, ἀλλὰ παρέπεμψε τὸ ἐκδοθὲν χρυσόβουλλον εἰς τοὺς πατέρας τῆς Μ. Λαύρας, ὅπως μελετήσωσιν αὐτῇ καὶ ἴδωσιν ἐὰν αἱ ἐν αὐτῷ ἀναφερόμεναι κτητορικαὶ διατάξεις ἦναι σύμφωνοι τῇ κοινῇ αὐτῶν γνώμῃ. Ἐπὶ τούτῳ ἐγράφη αὐτοῖς ἡ ἑπομένη πατριαρχικὴ ἐπιστολή·

† ΚΥΡΙΛΛΟΣ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁσιώτατοι ἐπίτροποι καὶ λοιποὶ πατέρες τοῦ ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος κειμένου ἱεροῦ καὶ σεβασμίου ἡμετέρου πατριαρχικοῦ καὶ σταυροπηγιακοῦ μοναστηρίου τῆς μεγίστης Λαύρας, τέκνα ἐν Κυρίῳ ἡμῶν ἀγαπητά· χάρις εἴη ὑμῖν καὶ εἰρήνη παρὰ Θεοῦ.

Ἐπειδὴ ὁ εὐσεβέστατος καὶ ὑψηλότατος αὐθέντης πάσης Μολδαβίας κύριος Γρηγόριος Γκίκας βοεβόδας ἀναγγείλας ἡμῖν ἀρτίως διʼ ἡγεμονικοῦ αὐτοῦ γράμματος τὴν θεάρεστον καὶ ψυχωφελῆ αὐτοῦ ἀπόφασιν περὶ τῆς πρὸ χρόνων μὲν ἱκανῶν μελετηθείσης καὶ συμφωνηθείσης, ἐσχάτως δὲ καὶ εἰς πρᾶξιν βληθείσης ἀποκαταστάσεως μολδαβικῆς σκήτης ἐπʼ ὀνόματι τοῦ τιμίου Προδρόμου καὶ οὔσης πρότερον κελλίου ἀνῆκον καὶ ὑποκειμένου τῇ ἱερᾷ ὑμῶν μονῇ, ὅτι δηλαδὴ ἐδωρήσατο μὲν αὐτῇ τῇ νέᾳ συγκροτηθησομένῃ σκήτῃ καὶ ἱερὰ ἄμφια καὶ σκεύη καὶ λοιπὰ, ἔτι δὲ καὶ κεφάλαιον χρηματικὸν, καθωρίσατο δὲ διὰ χρυσοβούλλου αὐτοῦ καὶ κτητορικάς τινας διατάξεις διατηρηθησομένας εἰς αἰῶνα τὸν ἅπαντα. Ταῦτα ἡμῖν δηλώσας ἡ αὐτοῦ ὑψηλότης γνωστὰ καὶ ὑμῖν προγεγονότα, ὡς ὑμῖν ἔγραψε, καὶ συγχρόνως ἀποστείλας καὶ ἴσον τοῦ ἐκδοθέντος χρυσοβούλλου, προτρεπόμεθα ὑμᾶς ὅπως διεξελθόντες αὐτὸ καὶ παρατηρήσαντες τοὺς ἐν αὐτῷ ὅρους καὶ κτητορικὰς διατάξεις περὶ τῆς ἀναφερομένης νέας σκήτης, ἐὰν ὑπάρχῃ σύμφωνος καὶ συνᾴδουσα τούτοις καὶ ἡ κοινὴ ὑμῶν γνώμη καὶ συγκατάθεσις, τότε θέλετε γράψει πρὸς ἡμᾶς διʼ ἐπισήμου ὑμῶν γράμματος φέροντος καὶ τῆς κοινότητος τὴν συνεπιδοκιμασίαν, ἵνα ἐκδώσωμεν τὸ ζητούμενον ὑπὸ τῆς ὑψηλότητός του σιγγιλλιῶδες γράμμα· ἡ δὲ τοῦ Θεοῦ εἴη μεθʼ ὑμῶν.

φωνς΄ ἀπριλίου 6΄.

Ὁ Κωνσταντινουπόλεως ἐν Χριστῷ εὐχέτης.

Μετὰ τὴν καταφατικὴν ἀπάντησιν τῶν πατέρων τῆς Μ. Λαύρας γραφεῖσαν τὴν 1 μαΐου 1856 ἀπελύθη τὸ ἑπόμενον πατριαρχικὸν ἐν μεμβράναις σιγίλλιον.

(*) Συνέχεια καὶ τέλος (ἴδ. Ἐκκλ. Ἀληθείας τεῦχ. ις΄).

Ὁ πατριάρχης Κωνσταντινουπόλεως ἐπιβεβαιοῖ ὅτι ἐστὶν

ἴσον ἀπαράλλακτον τοῦ σιγγιλλιώδους γράμματος τῆς ἐν τῷ ἁγιωνύμῳ ὄρει τοῦ Ἄθωνος μολδαβικῆς σκήτης τοῦ τιμίου Προδρόμου, τῆς ὑποκειμένης εἰς τὸ αὐτόθι ἱερὸν μοναστήριον τῆς μεγίστης Λαύρας.

† **ΚΥΡΙΛΛΟΣ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.**

Τῶν ἄνωθεν παρὰ τοῦ πατρὸς τῶν φώτων τελείων δωρημάτων ἠξιωμένοις, φωτοειδῆ τὰ κατορθώματα πάντα, καὶ χάρισιν ἐξαστράπτει παντοίαις, δι' ὧν αὐτὸς ὁ ἐπουράνιος Θεὸς δοξαζόμενος οἶδε τοὺς δοξάζοντας αὐτὸν ἀντιδοξάζειν. Φωτὸς γὰρ υἱοὶ γεγονότες φωτοβολοῦσιν ἔργα τῆς ἄνω φρυκτωρίας ἐχόμενα, ἃ τοῖς τε ἐγγὺς καὶ τοῖς μακρὰν ἀκτινοβολοῦντα, καὶ τὴν ἐν ἀρεταῖς ψυχικὴν αὐτῶν τελειότητα διαγγέλλοντα, πάντας εἰς τὴν ἀπόδοσιν τῶν μετὰ κρότων ἐπαίνων εἰκότως κινοῦσι, καὶ εἰς μίμησιν διεγείρουσιν, ὡς δῆλον καὶ ἐπὶ τῆς ἤδη εὐδοκίᾳ Θεοῦ ἀξιοπρεπῶς κατασταθείσης καὶ ἀναδειχθείσης ἱερᾶς κοινοβιακῆς σκήτης τοῦ τιμίου Προδρόμου κατὰ τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθωνος. Τούτου γὰρ τοῦ ἱεροῦ τεμένους τὴν ἀπὸ κελλίου τοῦ Γιαννακοπούλου λεγομένου, ἀρχαίοθεν κτήματος τῆς ἱερᾶς μονῆς τῆς μεγίστης Λαύρας εἰς τάξιν σκήτεως μεταποίησιν καὶ μεταρρύθμισιν πρῶτος προέθετο ὁ πρὸ χρόνων ἀσκήσας ἐν αὐτῷ πνευματικὸς Ἰουστῖνος Μολδαβός, πολλὰ καμὼν καὶ δαπάναις ἀβραῖς αὐξήσας αὐτὸ καὶ βελτιώσας· ἀλλὰ τούτου μὴ φθάσαντος διὰ τὸ προκαταληφθῆναι ὑπὸ τοῦ χρεών, μηδὲν κατορθῶσαι, τὸν μελετηθέντα σκοπὸν αὐτοῦ εἰδὼς ὁ ἐν μακαρίᾳ τῇ λήξει μητροπολίτης Μολδαβίας Βενιαμὶν Κωστάκης συνεστήσατο ἐπανειλημμένας ἀρχιερατικᾶς αὐτοῦ προτροπᾶς πρὸς τοὺς ὁσιωτάτους λαυριώτας πατέρας, οἵτινες φιλαδέλφως πάνυ καὶ φιλοκάλως συγκατατεθέντες μεταποιῆσαι καὶ ἀναδεῖξαι τὸ κελλίον εἰς σκήτην κοινοβιακὴν μολδοβάνων πατέρων, κατὰ τὴν τοῦ μακαρίου Ἰουστίνου ἔφεσιν καὶ τὴν ἀρχιερατικὴν ἀξίωσιν, ἐξέθωκαν καὶ γράμμα ἐπίσημον μοναστηριακὸν κατὰ τὸ παρεληλυθὸς ϡωκ σωτήριον ἔτος, ἐν δέκα καὶ τρισὶ κεφαλαίοις κανονίζον τὴν συγκρότησιν τῆς σκήτεως, ὅπερ καὶ ἔλαβον μὲν οἱ τὸ κελλίον διαδεξάμενοι Πατάπιος καὶ Γρηγόριος οἱ τοῦ Ἰουστίνου διάδοχοι, ἀλλὰ καὶ οὗτοι δι' Ἐλλείψιν τῶν ἀναγκαίων πρὸς τὰ οὐσιώδη συστατικὰ τῆς σχεδιασθείσης σκήτης μέσων καὶ πόρων ἄπρακτα καὶ ἐκκρεμῆ τὰ τῆς ὑποθέσεως καταλιπόντες, μετέβησαν διαδοχικῶς εἰς Μολδαβίαν, ἔνθα καὶ τὸ ζῆν ἐξεμέτρησαν, μηδὲν τῶν γραφέντων καὶ προτεθέντων ἐκείνων διαπράξαι δυνηθέντες ἕνεκα τῶν περιστάσεων, καὶ τὸ κελλίον διαδόχου ἀμοιρῆσαν, κληρονομικῷ τῆς ἱερᾶς μονῆς δικαιώματι ἀπελύθη ἑτέροις πατράσι, κατὰ τὰς ἐπιτοπίους μοναστηριακὰς τάξεις. Οὕτω μὲν οὖν φροῦδα καὶ ἀτελεσφόρητα κατεστάθη τὰ προκαταρκτικὰ ἐκεῖνα ὑπὲρ τῆς σκήτης μέτρα ἔδοξαν ἑτέρας ἰσχυρᾶς προστασίας δεόμενα, σύνδρομον ἐχούσης τὴν προαιρέσει τὴν δύναμιν· ἔμελλε δ' ἄρα τὸ θεοφιλὲς ἔργον ὑπὸ τῆς διεξαγούσης τὰ ἡμέτερα θείας προνοίας ἀποταμιευθὲν κατορθωθῆναι λαμπρῶς καὶ κρεῖσσον ἐλπίδος ἐν εὐθέτῳ καιρῷ καὶ ἁρμοδίῳ ἐπὶ τῆς εὐκλεοῦς, φαμέν, ἡγεμονίας τοῦ εὐσεβεστάτου, ὑψηλοτάτου καὶ φιλοχρίστου αὐθέντου πάσης Μολδοβλαχίας κυρίου κυρίου Γρηγορίου Γκίκα βοεβόδα, υἱοῦ ἐν Χριστῷ λίαν ἀγαπητοῦ καὶ περιποθήτου τῆς ἡμῶν μετριότητος, ἀσύγκριτον μὲν καὶ ἀπαράμιλλον διετρέφοντος ζῆλον περὶ τὰ θεῖα σκηνώματα, ὑπέρμαχον δὲ ἐν ἤθει μεγαλοπρεπεῖ προβαλλομένου τὴν προστασίαν πρὸς πάντα τὰ ἀρρῶντα τὴν εὔκλειαν τῆς θεοσώστου αὐτοῦ ἡγεμονίας καὶ τὴν κοινὴν ὠφέλειαν καὶ πρόοδον τοῦ ἐν αὐτῇ διατελοῦντος ὀρθοδόξου λαοῦ. Ἀνευρεθέντος γὰρ ἐσχάτως καὶ ἐμφανισθέντος τοῦ παλαιγενοῦς ἐκείνου μοναστηριακοῦ γράμματος ὑπὸ τῶν ὁσιωτάτων δύο πατέρων, τοῦ πνευματικοῦ Νήφωνος καὶ τοῦ ἱερομονάχου Νεκταρίου, ἡ αὐτοῦ ὑψηλότης, ἀφορμὴν ἀγαθὴν, καὶ τῇ εὐσεβεῖ καὶ φιλοκάλῳ αὐτοῦ προαιρέσει πρόσφορον ποιησαμένη τὴν ἀντίληψιν καὶ ἐπανόρθωσιν καὶ αἰσίαν ἐκπεραίωσιν τῆς ἄλλως ματαιωθείσης ἱερᾶς ταύτης ὑποθέσεως, κατιδοῦσα τε τὸ πρόθυμον τῶν ὁσιωτάτων λαυριωτῶν πατέρων, ὁμοίᾳ διαθέσει τῶν πρὸ αὐτῶν ἀποδεξαμένων φιλοκάλως τὴν εὐμενῆ ἡγεμονικὴν αὐτοῦ ἀξίωσιν καὶ τὴν σύμφωνον ἀρχιερατικὴν μεσιτείαν τοῦ ἤδη ἱεροτάτου μητροπολίτου Μολδαβίας, περιποθήτου ἡμῶν ἐν Χριστῷ ἀδελφοῦ καὶ συλλειτουργοῦ κὺρ Σωφρονίου, καὶ διὰ νεωτέρου μοναστηριακοῦ αὐτῶν γράμματος ἀνανεωσάντων τὰς περὶ τῆς σκήτης πρώτας ἐκείνας παραχωρήσεις, καὶ τὴν ἀποκατάστασιν αὐτῆς ἀποφηναμένων, καθὰ ἐρήσεται πλατύτερον ἐφεξῆς, ζῆλον ἔνθεον ἀναλαβοῦσα, πρῶτον μὲν διαφόροις ἀναθήμασι συνεκρότησε τὸ ἱερὸν αὐτὸ σκήνωμα, σκεύεσι δηλονότι ἀργυροῖς καὶ ἱεροῖς ἀμφίοις καὶ ἄλλοις ἐκκλησιαστικοῖς πράγμασι καὶ κειμηλίοις· προνοοῦσα δὲ ὡς κτήτωρ καὶ ὑπὲρ τῆς διηνεκοῦς καλῆς αὐτοῦ συντηρήσεως, ἐπροίκισε καὶ ἐδωρήσατο ἐξ ἰδίων καὶ χρηματικὸν αὐτῇ κεφάλαιον ἐκ φλωρίων Ὁλλανδικῶν τριῶν χιλιάδων, ἀριθ. 3000, ἐπὶ τῷ καρποῦσθαι διὰ παντὸς, καὶ μόνιμον ἔχειν πόρον τοὺς ἐτησίους τόκους αὐτῶν κατατεθέντων εἰς τὸ ταμεῖον τῆς ἐπιτροπῆς τοῦ ἁγίου Σπυρίδωνος, κατωχυρώσατο δὲ τὰς γενναίας ταύτας ἀφιερώσεις καὶ διὰ πανεκλάμπρου αὐθεντικοῦ αὐτοῦ χρυσοβούλλου ἐκδοθέντος τῷ παρεληλυθότι ϡωγ' σωτηρίῳ ἔτει αὐγούστου ιϐ', οὐ μὴν δὲ ἀλλὰ καὶ ἄλλας προστασίας ἐπί τε συνδρομῶν συλλογῇ καὶ ἄλλων βοηθητικῶν τρόπων ἀπολαύσει τὰ πρὸς τὴν τελείαν ἀποκατάστασιν καλλονήν τε καὶ λαμπρότητα τῆς νεοσυστάτου ταύτης σκήτεως, καὶ τὴν ἐσαεὶ ἄνετον διαβίωσιν τῶν ἐν αὐτῇ ἀσκησόντων προεμηθεύσατο προνοίᾳ ἐμβριθεῖ, ἀξιαγάστῳ καὶ γενναίᾳ καὶ πλουσιοπαρόχῳ χειρὶ, θυσίαν ταύτην εὐπρόσδεκτον προσενεγκοῦσα τῷ πάντων τῶν ἀγαθῶν δοτῆρι Θεῷ, κατὰ τὸ «ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν». Ἐπεὶ δὲ ταῦτα οὕτως ἀρίστως διαπραχθέντα ἀνηνέχθησαν ἤδη καὶ ἐδηλώθησαν τῇ ἡμῶν μετριότητι προκαθημένῃ συνοδικῶς ἔκ τε ἀπαραλλάκτου ἴσου τοῦ διαληφθέντος αὐθεντικοῦ ἀφιερωτικοῦ καὶ ἐπικυρωτικοῦ χρυσοβούλλου, ὅπερ ἀπέστειλεν ἡμῖν ἤδη ἡ αὐτοῦ ὑψηλότης μετὰ πανεκλάμπρου αὐτοῦ πρὸς ἡμᾶς γράμματος, καὶ ἀπὸ ἴσων ἐπισήμων τῶν διαληφθέντων δύο μοναστηριακῶν συμφωνητικῶν λαυριωτικῶν γραμμάτων τοῦ τε ἀρχαίου κατὰ τὸ ϡωκ' ἐν τρισὶ καὶ δέκα κεφαλαίοις συνισταμένου καὶ τοῦ νεωτέρου ἐκδοθέντος τῇ κδ' σεπτεμβρίου ϡωγ' καὶ τέσσαρα περιέχοντος ἄρθρα, ἅπερ ἀμφότερα διευθύνασα ὑπ' ὄψιν τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας ἡ τῶν λαυριωτῶν πατέρων ἱερὰ κοινότης καὶ σύναξις, διετράνωσε καὶ δι' ἑτέρας κοινῆς πρὸς ἡμᾶς μοναστηριακῆς ἀναφορᾶς τὴν πλήρη αὐτῆς συγκατάθεσιν καὶ κοινὴν γνώμην, ἐφ' οἷς ἀπεφήνατο δι' αὐτῶν, ἐπινεύσασα καὶ πρότερον καὶ ἤδη ἐν ἀμοιβαίᾳ εὐχαρίστῳ γνώμῃ καὶ τῶν ὁσιωτάτων μολδαβῶν πατέρων ὑπὲρ τῆς ἀποκαταστάσεως τῆς περὶ ἧς ὁ λόγος ἱερᾶς μολδαβικῆς σκήτης, ὑπὲρ ἧς ἥ τε ἀρχιερατικὴ καὶ ἡ αὐθεντικὴ εὐσεβὴς πρόθεσις ἐμεσολάβησε καὶ ὅτι τοῦ νεωτέρου συμφωνητικοῦ γράμματος θεωρουμένου ἰσοδυνάμου καὶ συμπληρωτικοῦ τοῦ πρώτου καὶ ἀρχαίου, τοῦτο τὸ ἕκτον ἄρθρον πρὸ δύο χρόνων ἐπραγματοποιήθη ἐφάπαξ διὰ παντὸς κατὰ γράμμα καὶ νόημα. Συγχρόνως δὲ μετὰ τῶν ἐπισήμων τούτων αὐθεντικῶν καὶ μοναστηριακῶν διαβεβαιώσεων προσηνέχθη ἡμῖν ἡγεμονική τε ἀξίωσις τῆς αὐτοῦ ὑψηλότητος καὶ θερμὴ παράκλησις τῆς ἐκείνων ὁσιότητος, ὅπως τὰ οὕτω θεοφιλῶς καὶ θεαρέστως προχωρήσαντα κατοχυρωθῶσι καὶ ἐπικυρωθῶσι καὶ δι' ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ σιγγιλλιώδους ἐν μεμβράνῃ γράμματος πρὸς αἰωνίαν καὶ ἀπαράλλακτον ἐνέργειαν καὶ ἀπαράτρεπτον ἐξακολούθησιν καὶ διατήρησιν.

Τούτου χάριν τὴν ἑκατέρωθεν αἴτησιν εὐμενῶς προσηκάμενοι ὡς εὔλογόν καὶ δικαίαν καὶ σύμφωνον τῇ ἀξιοχρέῳ ἐκκλησιαστικῇ προνοίᾳ ὑπὲρ τῶν ἁπανταχοῦ ἱερῶν σκηνωμάτων τῶν εἰς δόξαν Θεοῦ καὶ ψυχικὴν ὠφέλειαν τῶν εὐσεβῶν χριστιανῶν συγκεκροτημένων, καὶ τὴν

μὲν εὐσεβεστάτην αὐτοῦ ὑψηλότητα τῆς φιλοχρίστου καὶ φιλοκάλου καὶ εὐεργετικῆς γνώμης ἀγασάμενοι καὶ τὰς ἐκ βάθους ψυχῆς συνοδικαῖς εὐχαῖς καὶ εὐλογίαις καὶ δαψιλέσιν εὐφημίαις καταστέψαντες, τὴν δὲ τῶν ὁσιωτάτων λαυριωτῶν πατέρων ἱερὰν σύναξιν ἐπαινέσαντες μετ' εὐχῶν ἐγκαρδίων διὰ τὸ προσηνὲς τῆς φιλαδέλφου ἀγάπης καὶ διαθέσεως.

Γράφοντες συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, πρῶτον μὲν ὁριζόμεθα καὶ ἀποφαινόμεθα ἵνα τὰ ἐν τῷ ῥηθέντι αὐθεντικῷ χρυσοβούλλῳ ὑπὲρ τῆς νεοσυστάσης κοινοβιακῆς σκήτης τῶν μολδαβῶν πατέρων, τῆς ὑποκειμένης τῇ κυριαρχικῇ ἱερᾷ μονῇ τῆς μεγίστης Λαύρας κατὰ τὸ ἁγιώνυμον ὄρος τοῦ Ἄθωνος, ἐξαιρέτῳ ἡγεμονικῷ ζήλῳ καὶ φιλοκάλῳ προαιρέσει καὶ προνοίᾳ τοῦ εὐσεβεστάτου καὶ φιλοχρίστου αὐθέντου πάσης Μολδοβλαχίας κυρίου Γρηγορίου Γκίκα βοεβόδα ὁροθετηθέντα καὶ θεσπισθέντα ὥσι καὶ γινώσκωνται εἰς αἰῶνα τὸν ἅπαντα ἀμετάβλητα καὶ τὴν ἐνέργειαν ἀπαράλλακτον ἔχοντα, τῶν προικισθέντων αὐτῇ, ταύτῃ τῇ ἱερᾷ σκήτῃ ὑπὸ τῆς γενναίας ἡγεμονικῆς δωρεᾶς κεφαλαίων φλωρίων ὀλλανδικῶν τριῶν χιλιάδων ἀμετακινήτων διαμενόντων εἰσαεί, τῇ ἀγρύπνῳ φροντίδι τῆς κατὰ καιροὺς ἐπιτροπῆς τοῦ ταμείου τοῦ ἁγίου Σπυρίδωνος ὅπου κατατίθενται, ὀφειλούσης ἀποστέλλειν αὐτῇ τοὺς ἐτησίους τόκους φλωρία τριακόσια τακτικῶς ἐν δυσὶν ἐποχαῖς, ἤτοι τὰ μὲν ἡμίση κατὰ τὴν τοῦ ἁγίου Γεωργίου, τὰ δὲ ἄλλα ἡμίση κατὰ τὴν τοῦ ἁγίου Δημητρίου, καὶ λαμβάνειν ἀπόδειξιν τῆς παραλαβῆς αὐτῶν φέρουσαν τὴν τῆς σκήτης σφραγῖδα, χωρὶς τοῦ γενέσθαι ποτὲ χρῆσιν τοῦ ἱεροῦ τούτου κεφαλαίου εἰς ἄλλην τινὰ ἀνάγκην, εἰμὴ εἰς μόνην τὴν ὑπὸ τοῦ φιλοθέου ἀφιερωτοῦ προσδιορισθεῖσαν ὡς διείληπται. Τοῖς δὲ ἐν τῇ σκήτῃ ταύτῃ ἀσκουμένοις πατράσιν ἐπικείσθω διάγειν κοινοβιακῶς διαπαντὸς, κατὰ τὸ παράδειγμα τῶν τοῦ ἁγίου Ὄρους κοινοβίων μοναστηρίων, συνῳδὰ τῇ εὐλαβεῖ ἐφέσει τοῦ κτήτορος αὐτῆς, φαμὲν δὴ τῆς αὐτοῦ ὑψηλότητος, οὗ καὶ τοῦ ὀνόματος ὀφείλουσι μνημονεύειν ἀεὶ ἐν ταῖς πρὸς τὸν Κύριον ἐντεύξεσιν αὐτῶν, ὥσπερ δὴ καὶ τῶν ἀοιδίμων προγόνων αὐτοῦ, εὐγνωμονοῦντες διηνεκῶς ἀνθ' ὧν ἠλέηται δαψιλῶς ἡ σκήτη αὕτη οὐ μόνον τῇ ἐτησίῳ χρηματικῇ ἀπολαύσει, ἀλλὰ καὶ διὰ τοσούτων ἱερῶν ἀναθημάτων καὶ κειμηλίων, καὶ ἐλεηθήσεται ἔτι, Θεοῦ διδόντος, ὑπὸ τῆς φιλοκάλου καὶ εὐεργετικῆς αὐτοῦ διαθέσεως, ὀφείλοντας ἐπὶ τούτου διατηρεῖν ἀνεκποίητα εἰς τὸ διηνεκὲς τὰ ἡγεμονικὰ ταῦτα ἀφιερώματα, ὥσπερ καὶ ὅσα ἂν ἐν τῷ ἐφεξῆς χρόνῳ προσκτηθῶσι τῇ ἱερᾷ ταύτῃ σκήτῃ ἐξ ἄλλων εὐλαβῶν ἀφιερώσεων, μηδόλως τολμήσαντάς ποτε ἀποξενῶσαι οὐδὲν ἐξ αὐτῶν, ὡς τῷ Θεῷ ἀφιερωμένων. Εἶτα δὲ ἐπικυροῦμεν καὶ κρατύνωμεν καὶ ἐμπεδοῦμεν τὰ ἐξ ἀμοιβαίας γνώμης καὶ συμφώνου διαθέσεως τῆς ἱερᾶς συνάξεως τῶν λαυριωτῶν πατέρων καὶ τῶν ἐξονομασθέντων ὁσιωτάτων Μολδαβῶν πατέρων τοῦ πνευματικοῦ Νήφωνος καὶ τοῦ ἱερομονάχου Νεκταρίου, περὶ τῆς αὐτῆς νέας μολδαβικῆς σκήτης τοῦ τιμίου Προδρόμου συντεθέντα καὶ συνομολογηθέντα διὰ τῶν εἰρημένων δύο μοναστηριακῶν συμφωνητικῶν γραμμάτων βάσιν μίαν καὶ τὴν αὐτὴν καὶ τύπον ἐχόντων καὶ ἔννοιαν ὁμοιόμορφον, συμπληρουμένην ἐν τῷ νεωτέρῳ ὡς εἴρηται γράμματι τοῦ φανῶ ἔτους σεπτεμβρίου κδ' φέροντι τήν τε μοναστηριακὴν καὶ τὴν τῆς σκήτης σφραγῖδα καὶ τὰς ὑπογραφὰς ἀμφοτέρων τῶν συμβαλλομένων μερῶν, ἤτοι τῆς συνάξεως τῶν λαυριωτῶν πατέρων, καὶ τὰς τῶν μολδαβῶν πατέρων βλαχιστί, ἀποφαινόμενοι καὶ θεσπίζοντες ἵνα ἔχωσι τὸ κῦρος καὶ τὴν ἰσχὺν ἀδιάσειστον καὶ τὴν ἐνέργειαν ἀπαράλλακτον, ὁριζόμενοι καὶ ἀποφαινόμενοι, ἵνα, α') ὁ ἀριθμὸς τῶν ἐν τῇ σκήτῃ ταύτῃ κοινοβιακῶς ἀσκούντων διὰ τὸ περιωρισμένον τῆς τόπου αὐτῆς ἐκτάσεως ὑπάρχῃ ἐπὶ τοῦ παρόντος συνιστάμενος ὁριστικῶς εἰς εἴκοσι μόνον ἄτομα· ὑφέποτε δὲ ἂν προκύψῃ ἀνάγκη αὐξηθῆναι τὸν ἀριθμὸν τοῦτον τῶν κοινοβιούντων, ἡ τοιαύτη αὔξησις ἔχει γενέσθαι διὰ συγκαταθέσεως τῆς ἱερᾶς μονῆς τῆς μεγίστης Λαύρας. β') Ἐπειδὴ τὸ κτῆμα τοῦτο ἐνόσῳ μὲν διέμενεν εἰς ἣν ἐξ ἀρχῆς διετέλει κατάστασιν κελλίου, παρεῖχε προσόδους κανονικὰς καὶ συνήθεις τῇ ἱερᾷ μονῇ καὶ ὠφέλειαν ἄμεσον ἐκ διαφόρων περιστάσεων συμπίπτουσαν κατὰ τὰ ἐπιτόπια ἔθη, μετατεθέντος δὲ ἤδη εἰς σκήτην κοινοβιακήν, συμμεταβάλλεται καὶ παύει ἡ κανονικὴ αὕτη πρόσοδος, διὰ τοῦτο κατὰ τὴν ἐκ συμφώνου ἀπόφασιν ἀποδίδει καὶ πληροῖ κατ' ἔτος πρὸς τὴν ἱερὰν μονὴν λόγῳ κυριαρχικοῦ δικαιώματος γρόσια χίλια εὐχαρίστως, ἐκτὸς τῶν βασιλικῶν καὶ τοπικῶν δοσιμάτων, τῶν ὁριζομένων παρὰ τῆς τοῦ ἁγίου Ὄρους κοινότητος, ὡς ἀναφερθέντων. γ') Τῆς ἐτησίου χορηγίας τῶν χιλίων γροσίων πρὸς τὴν ἱερὰν μονὴν οὐδεμία πώποτε δύναται γενέσθαι ἐλάττωσις· ἐκτὸς γὰρ τῆς ἣν αὕτη ὑπέστη στερήσεως τῶν προτέρων κανονικῶν προσόδων, ὡς εἴρηται ἀνωτέρω, καὶ αὐτοὶ δὲ οἱ μολδαβοὶ ἀσκηταὶ ἔχουσι πορίζεσθαι ξυλείαν τε οἰκοδομήσιμον ἀπὸ τοῦ μοναστηριακοῦ δάσους διὰ τὴν ἀνάγκην τῆς σκήτης αὐτῶν καὶ ὕλην ξυλοεργοχείρων καὶ ξύλα καύσιμα καὶ ἄσβεστον καὶ ἄλλα, ὧν ἀπέναντι δικαιοῦται καὶ ἡ ἱερὰ μονὴ λαμβάνειν τὸ ἐτήσιον τοῦτο δικαίωμα, μικρὸν μὲν ὡς πρὸς τὴν οὐσίαν τοῦ πράγματος, συγκαταβατικῶς δὲ προσδιορισθὲν χάριν τῶν ἀσκητῶν μολδαβῶν πατέρων. δ') Ἔστω διαπαντὸς σφραγὶς τῆς ἱερᾶς ταύτης σκήτης, καθάπερ ἤδη ἐσχεδιάσθη, φέρουσα δηλονότι τὴν ἀποτομὴν τοῦ τιμίου Προδρόμου μετ' ἐπιγραφῆς μολδαβικῶν χαρακτήρων· «σφραγὶς τῆς μολδαβικῆς σκήτης τοῦ τιμίου Προδρόμου τῆς Λαύρας 1852», ὑπάρχει δὲ ὁμοίως καὶ ἑτέρα μικρὰ σφραγὶς πρόχειρος, χρησιμεύουσα ἡ μὲν διὰ τὰς ἀποδείξεις τῶν ἐλεημοσυνῶν, ἡ δὲ δι' ἐπισφράγισμα τῶν γραμμάτων· ἀμφότεραι δὲ ἐγχειρίσθησαν ἤδη τῷ ῥηθέντι ὁσιωτάτῳ πνευματικῷ καὶ δικαίῳ ἀποκαταστάντι κὺρ Νήφωνι, ἔχουσι σώζεσθαι παρὰ τῷ κατὰ καιροὺς δικαίῳ ἀείποτε. Ταῦτα μὲν οὖν ἀπεφάνθη καὶ κεκύρωται συνοδικῶς. Ὃς δ' ἂν καὶ ὁποῖος τῶν ἁπάντων ἀνευλαβείᾳ καὶ ἰδιορρύθμῳ γνώμῃ νικώμενος, τολμήσῃ ποτε κρυφίως ἢ φανερῶς, ἀμέσως ἢ ἐμμέσως διασεῖσαι τὴν θεοφιλῆ ἁρμονίαν καὶ συντήρησιν τῆς ἱερᾶς ταύτης σκήτης, καὶ ταραχὴν καὶ ἀνωμαλίαν, ἢ βλάβην καὶ ἐπήρειαν αὐτῇ, ἢ τοῖς ἐνασκουμένοις αὐτῇ προξενῆσαι, ἢ τῶν πραγμάτων αὐτῆς καὶ ἀναθημάτων καὶ χρημάτων καὶ λοιπῶν αὐτῆς δικαίων ἅψασθαι καὶ ἰδιοποιηθῆναι, καὶ ὅλως βουληθῇ ἀνατρέψαι μέχρι κεραίας τὰ ἐν τῷ παρόντι συνοδικῶς ἐκπεφασμένα, ὁ τοιοῦτος ὁποίας ἂν ᾖ τάξεως καὶ ὁποίου βαθμοῦ, ἀφωρισμένος ὑπάρχοι παρὰ τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωοποιοῦ καὶ ἀδιαιρέτου μακαρίας Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, καὶ τυμπανιαῖος, καὶ πάσαις ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπεύθυνος, καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν ἡμέτερον πατριαρχικὸν καὶ συνοδικὸν σιγγιλλιῶδες ἐνμεμβράναις γράμμα, καταστρωθὲν κἂν τῷ ἱερῷ κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ ἐδόθη τῇ διαληφθείσῃ ἀρτισυστάτῳ ἱερᾷ κοινοβιακῇ μολδαβικῇ σκήτῃ τοῦ τιμίου Προδρόμου.

Ἐν ἔτει σωτηρίῳ ᾠνς' κατὰ μῆνα ἰούνιον ἐπινεμήσεως ιθ'.

ΚΥΡΙΛΛΟΣ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ Ἐφέσου ΠΑΙΣΙΟΣ.— Ὁ Ἡρακλείας ΠΑΝΑΡΕΤΟΣ.— Ὁ Κυζίκου ΙΩΑΚΕΙΜ.— Ὁ Νικομηδείας ΔΙΟΝΥΣΙΟΣ.— Ὁ Χαλκηδόνος ΓΕΡΑΣΙΜΟΣ.— Ὁ Δέρκων ΓΕΡΑΣΙΜΟΣ.— Ὁ πρόεδρος Διδυμοτύχου ΜΕΛΕΤΙΟΣ.— Ὁ Πόντου ΠΡΟΚΟΠΙΟΣ.— Ὁ Κρήτης ΔΙΟΝΥΣΙΟΣ.— Ὁ Ῥόδου ΙΓΝΑΤΙΟΣ.— Ὁ Σμύρνης ΠΑΙΣΙΟΣ.— Ὁ Μελενίκου ΔΙΟΝΥΣΙΟΣ.— Ὁ Χίου ΝΕΟΦΥΤΟΣ.— Ὁ Σαμακοβίου ΜΑΤΘΑΙΟΣ.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΗΜΕΡΟΛΟΓΙΟΝ (*)

Τετάρτη 15. Μνήμη τῶν ἁγίων μαρτύρων Κηρύκου καὶ Ἰουλίττης τῆς μητρὸς αὐτοῦ.

Ὅσῳ προσήγγιζεν ἡ ἡμέρα τοῦ θριάμβου τῆς στρατευομένης ἐκκλησίας καὶ ἡ κατὰ συνέπειαν κατάπτωσις τῶν εἰδώλων, ἐπὶ τοσοῦτον ἀπηνέστεροι ἀνεδείκνυντο οἱ τοῖς ψεύδεσι προσκείμενοι καὶ ἀντὶ τοῦ πλάστου τὰ κτίσματα λατρεύοντες· ὅθεν καὶ ὁ ἐπὶ Διοκλητιανοῦ κινηθεὶς διωγμὸς αἱματηρότατος τῶν πρὸ αὐτοῦ ἐγένετο, καθότι ὁ ἐθνικὸς κόσμος ἐξηγέρθη ὅλος κατὰ τοῦ χριστιανισμοῦ, οὗ καὶ ἡ ἐν τῷ κόσμῳ βασιλεία ἤρξατο ὑποῤῥώσκουσα.

Τῷ ὄντι τὸ ζήτημα· Πότερον κατὰ τὰς θεμελιώδεις ἀρχὰς καὶ τὰς συνηθείας τῆς ῥωμαϊκῆς ἢ τῆς ἑλληνικῆς Ἐκκλησίας ἐκήρυξαν ἐν Μοραβίᾳ καὶ ἀλλαχοῦ τὸν χριστιανισμὸν οἱ ἀδελφοὶ Κύριλλος καὶ Μεθόδιος καὶ οἱ τούτων συνεργοὶ μεταγενέστερόν ἐστιν· ἐγεννήθη ἐν τῇ Δύσει καὶ οὐχὶ ἐν τῇ Ἀνατολῇ· ἐγεννήθη δὲ πολὺ μετὰ ταῦτα· ἐγεννήθη, ὅτε ἐκ τῶν χωρῶν ἐκείνων, ἐν αἷς ἐφύτευσαν τὸ ἅγιον τῆς ἀγάπης Εὐαγγέλιον τὰ δύο φωτόμορφα καὶ πιστότατα ἐκεῖνα τέκνα τῆς ἁγίας Ἐκκλησίας τῆς Ἀνατολῆς, ἐξέλιπε καὶ τὸ ἔσχατον, ὡς εἰπεῖν, ἴχνος τοῦ ἀνατολικοῦ ὀρθοδόξου τύπου, καθ' ὃν οὗτοι ἐγέννησαν ἐν Χριστῷ καὶ ἐγαλούχησαν καὶ διεπαιδαγώγησαν τὰς πρώτας ἐκείνας ἁγίας σλαυικὰς ἐκκλησίας· ὅτε ἐν ταῖς ἐκκλησίαις ἐκείναις τὸ σύμβολον τῆς πίστεως πρὸ πολλοῦ πλέον μετὰ τῆς καινοφωνίας «καὶ ἐκ τοῦ Υἱοῦ» ἀνεγινώσκετο, καὶ τὸ βάπτισμα ἀπέβη ῥάντισμα ἢ ἐπίχυσις, καὶ τὸ ὑψηλότερον ὡς εἰπεῖν τῶν μυστηρίων, ἡ θεία εὐχαριστία, ἡμισεύθη ἱεροσύλως κολοβωθεῖσα διὰ τῆς ἀποστερήσεως καὶ ἀποξενώσεως τοῦ χριστιανικοῦ λαοῦ ἀπὸ τῆς κοινωνίας τοῦ ποτηρίου τῆς καινῆς Διαθήκης, καὶ ὁ τίμιος τῶν ἱερέων γάμος ἀπηγορεύθη ὁλοτελῶς, καὶ τὴν ἐθνικὴν καὶ προσφιλεστάτην μητρικὴν γλῶσσαν τῆς χώρας ἡ ξένη καὶ πάντη ἀκατάληπτος λατινικὴ εἰς τὸ διηνεκὲς διεδέξατο (α), ἐνὶ λόγῳ, ὅτε ὅλος ὁ ἀρχαϊκὸς καὶ σεβάσμιος καὶ ἱερὸς καὶ καθολικὸς (τουτέστι τῇ ἀρχαίᾳ ὀρθοδόξῳ οἰκουμενικῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ γνωστὸς) ἀνατολικὸς χαρακτὴρ ὁ ὑπὸ τοῦ Κυρίλλου καὶ τοῦ Μεθοδίου ταῖς ἐκκλησίαις ἐκείναις ὁσίως καὶ θεοφιλῶς ἐναποτυπωθεὶς ἠλλοιώθη οἰκτρῶς κατὰ τὸν νεώτερον τὸν πολλαχῶς παρακεχαραγμένον καὶ διὰ τοῦτο ἔκθεσμον καὶ ἀσύγγνωστον τύπον τῆς νεωτέρας δυτικῆς παπικῆς ἐκκλησίας, οἱ δὲ μακάριοι Κύριλλος καὶ Μεθόδιος ἐκ τυχοδιωκτῶν ἑλλήνων αἱρετικῶν ἐγένοντο ἅγιοι τῶν Σλαύων ἀπόστολοι—τότε κατὰ πρῶτον παρῆλθεν εἰς μέσον, καὶ ὡς ζήτημα σπουδαῖον ἐπὶ τοῦ τάπητος τῶν κριτικῶν ἐτέθη τὸ θέμα, εἰ ὁ χριστιανισμός, ὃν ἐδίδαξαν οἱ ἱεροὶ ἐκεῖνοι ἄνδρες Κύριλλος καὶ Μεθόδιος εἰς τοὺς Σλαύους τῆς Μοραβίας, τῆς Παννονίας καὶ τῆς Βοεμίας ἦν ὁ χριστιανισμὸς τῆς ἀνατολικῆς ὀρθοδόξου Ἐκκλησίας ἢ ὁ χριστιανισμὸς τῆς δυτικῆς. Βεβαίως καὶ τῆς δυτικῆς Ἐκκλησίας ὁ χριστιανισμὸς ἂν ἦτο οὗτος, ἦτον ὁ χριστιανισμός, ὃν ἡ Ἐκκλησία ἐκείνη εἶχε καὶ ἐδίδασκεν ἔτι ἐπὶ τοῦ ἑνὸς αἰῶνος, ἦν δηλαδὴ ὁ ὀρθόδοξος χριστιανισμὸς τῆς ἀρχαίας ὀρθοδόξου δυτικῆς Ἐκκλησίας καὶ οὐχὶ ὁ νεοθευμένος καὶ ἐν πλείστοις ὅσοις κίβδηλος, ὃν σήμερον αὕτη διδάσκει· ὥστε καὶ τούτου τιθεμένου, οὐδὲν οὔτε ὁ σημερινὸς κατολικισμὸς κερδαίνει, οὔτε οἱ ἅγιοι ἐκεῖνοι τῶν Σλαύων ἀπόστολοι ζημιοῦνται. Ἀλλὰ τὸ ζήτημα ἐτέθη ἅπαξ, καὶ ἐτέθη σκοπίμως, ἔκτοτε δὲ μέχρι τῆς σήμερον ὁ ὑπεραλπειος καὶ ἄπληστος καὶ ἄγαν παπισμὸς ὅλαις δυνάμεσιν ἀγωνίζεται ὅπως παραστήσῃ αὐτοὺς ἐνώπιον τῶν ἁπλουστέρων κατολίκους οὐ μόνον τῷ δόγματι, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ἄλλοις, ἐγκολάπτων καὶ τοῖς κατὰ τὴν θείαν λατρείαν τὴν σφραγῖδα καὶ τὸν τύπον Δύσεως. (ἀκολουθεῖ).

(α) Ὁ Pescheck (ἔνθ. ἀνωτ.) λέγει, «Ἡ εὐεργετικὴ αὕτη κατάστασις (ἡ κατάστασις δηλαδὴ τῶν σλαυϊκῶν ἐκκλησιῶν, ὅπως αὗται ἐμορφώθησαν ὑπὸ τῶν ἀδελφῶν Κυρίλλου καὶ Μεθοδίου) δυστυχῶς δὲν διήρκεσεν ἐπὶ πολύ. Ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἐπῆλθον καὶ ἐπὶ τῆς κεφαλῆς τῆς Μοραβίας ὅσα καὶ ἐν Βοεμίᾳ διεπράχθησαν, ἤτοι τῷ 1080 ἡ αὐστηρὰ τοῦ πάπα Γρηγορίου τοῦ Ζ' ἀπαγόρευσις τοῦ τελεῖν τὰς ἱεροπραξίας ἐν τῇ μητρικῇ γλώσσῃ—τῷ 1197 ἡ αὐστηρὰ περὶ ἀγαμίας τῶν ἱερέων διάταξις τοῦ πάπα Καιλεστίνου—τῷ 1350 ἡ ἀφαίρεσις τοῦ ποτηρίου τῆς καινῆς Διαθήκης καὶ ἡ εἰσαγωγὴ τῆς ὑπὸ τὸ ἓν εἶδος κοινωνίας, Communio sub una. Ἐπειδὴ δὲ τὸ ἐξ ἀμφοτέρων κοινωνεῖν (utraquismus) ἐν τῷ μεταξὺ 1433—1477 ἐκηρύχθη ἀνεκτόν, σώζεται ἔτι ἐν τῷ μουσείῳ τῆς Πράγας ἐπιγραφὴ ἐπὶ λίθου τοιαύτη—Ἐν ἔτει 1347 διατυγῇ τοῦ αὐτοκράτορος Σιγισμούνδου καὶ τῶν λεγάτων τῆς Βασιλείας (Basel) ἀνηγγέλθη δημοσίᾳ ἐπ' ἐκκλησίας βοεμιστὶ, λατινιστὶ, οὐγγριστὶ καὶ γερμανιστὶ ὅτι οἱ Βοεμοὶ καὶ οἱ Μοραβοὶ, ὅσοι κοινωνοῦσιν ἐξ ἀμφοτέρων τῶν εἰδῶν ἦτοι καὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, εἰσὶ τέλειοι χριστιανοὶ καὶ ἀληθινὰ τέκνα τῆς Ἐκκλησίας—Τοῦτο αὐτὸ ἔλεγεν ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ καὶ ὁ αὐτοκράτωρ Σιγισμοῦνδος δημοσίᾳ ἀναγνωσθείσῃ τῷ 1435 ἐν Βρύννῃ (Bruenn)». Ὁ αὐτὸς περὶ τῆς ἐν Βοεμίᾳ Ἐκκλησίας προστίθησι τάδε, «Αἱ περιστάσεις ἦσαν τὴν Βοεμίαν μετὰ τῆς δυτικῆς Ἐκκλησίας· ἀλλ' ἐναπελείφθησαν καί τινα ἴχνη ἐκ τῆς ἑλληνικῆς (τουτέστι τῆς ὀρθοδόξου ἀνατολικῆς) αὐτῆς καταγωγῆς, οἷον ἡ λειτουργία καὶ τὸ κήρυγμα τοῦ λόγου ἐν τῇ μητρικῇ γλώσσῃ. Ἐπειδὴ δὲ ταῦτα ἦσαν λίαν προσφιλῆ καὶ ἀγαπητὰ τῷ λαῷ, μόνον ἀκοντος τούτου καὶ οὐχὶ ἄνευ κόπων, καὶ μεθ' ὅλας τὰς ἐπανειλημμένας ἀπαγορεύσεις τῆς ῥωμαϊκῆς Ἐκκλησίας, ἦν δυνατὸν ἀπὸ τῆς 11—14 ἑκατονταετηρίδος νὰ κωλύωνται· ἀλλ' ἐπὶ τέλους ὤφειλε καὶ ἡ Βοεμία νὰ ὑποκύψῃ εἰς τὴν ἀποδοχὴν τῆς λατινικῆς λατρείας, τῆς ἀποστερήσεως τοῦ ποτηρίου, τῆς ἀγαμίας τοῦ κλήρου καὶ τῆς ἀπαγορεύσεως τοῦ ἀναγινώσκειν τὰς ἁγίας Γραφὰς ἐν τῇ μητρικῇ γλώσσῃ.

ΟΙ ΕΝ ΑΝΑΤΟΛΗ ΜΙΣΣΙΟΝΑΡΙΟΙ ΤΟΥ ΠΡΟΤΕΣΤΑΝΤΙΣΜΟΥ (*)

Τὰ γραφικὰ ῥητὰ, ἅτινα περὶ τοῦ μυστηρίου τούτου γράφοντες παρατιθέμεθα, τὸ ὀρθόδοξον τῆς διδασκαλίας τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας ἐν τοῖς περὶ τοῦ μυστηρίου τούτου τρανῶς ἀποδεικνύουσι, καὶ αὐτὸ τοῦτο ἐρεσχελίας τὰς καθ' ἡμῶν παρατηρήσεις τῶν προτεσταντῶν ἐξελέγχουσιν. Ἡ ὀρθόδοξος Ἐκκλησία πιστὴ εἰς τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν, οὐδενὶ ἐπιβάλλει βρόχον, ἀλλ' ἀπεκδέχεται ἐν ταῖς τάξεσι τῶν λειτουργῶν αὐτῆς τούς τε τὰ πάντα ἀφέντας καὶ τοὺς νομίμως

(*) Συνέχεια (Ἴδ. Ἀλήθ. τεῦχ. Ιὰ').

προσομιλήσαντας μιᾷ γυναικὶ, κατὰ τὴν ἀποστολικὴν ἐπιταγὴν «μιᾶς γυναικὸς ἄνδρας εἶναι»· ὅθεν καὶ μετὰ τῶν ἱερῶν Ἀποστόλων γνωματεύει «ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα μὴ ἐκβαλλέτω προφάσει εὐλαβείας. Ἐὰν δὲ ἐκβάλῃ ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω». (ε΄ κανον. ἀποστολ.). Τούτου χάριν ἡ ἁγία ς΄ οἰκουμενικὴ σύνοδος μαθοῦσα ὅτι ἐν Ῥώμῃ ὡς κανὼν ἐκρατεῖτο ἡ ἐν καιρῷ χειροτονίας ἐπιβολὴ τῆς ὑποχρεώσεως εἰς τοὺς μέλλοντας γενέσθαι διακόνους ἢ πρεσβυτέρους, ὅπως μετὰ τὴν χειροτονίαν αὐτῶν ἀπέχωσι τέλεον τῶν νομίμων αὐτῶν γαμετῶν, διὰ τοῦ ιγ΄ αὐτῆς κανόνος ἐθεσμοθέτησεν. «Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου χειροτονίας ἀξιοῦσθαι καθομολογεῖν ὡς οὐκ ἔτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. Ὥστε εἴ τις ἄξιος εὑρεθείη πρὸς χειροτονίαν ὑποδιακόνου, ἢ διακόνου, ἢ πρεσβυτέρου, οὗτος μηδαμῶς κωλυέσθω ἐπὶ τοιοῦτον βαθμὸν ἐκβιβάζεσθαι, γαμετῇ συνοικῶν νομίμῳ. Μήτε μὴν ἐν τῷ τῆς χειροτονίας καιρῷ ἀπαιτείσθω ὁμολογεῖν, ὡς ἀποστήσεται τῆς νομίμου πρὸς τὴν οἰκείαν γαμετὴν ὁμιλίας, ἵνα μὴ ἐντεῦθεν τὸν ἐκ Θεοῦ νομοθετηθέντα καὶ εὐλογηθέντα τῇ αὐτοῦ παρουσίᾳ γάμον καθυβρίζειν ἐκβιασθῶμεν, τῆς τοῦ εὐαγγελίου φωνῆς βοώσης· «ἃ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω», καὶ τοῦ Ἀποστόλου διδάσκοντος· «τίμιον τὸν γάμον καὶ τὴν κοίτην ἀμίαντον,» καί· «δέδεσαι γυναικὶ, μὴ ζήτει λύσιν». Ἴσμεν δὲ ὥσπερ καὶ οἱ ἐν Καρθαγένῃ συνελθόντες τῆς ἐν βίῳ σεμνότητος τῶν λειτουργῶν τιθέμενοι πρόνοιαν, ἔφασαν, ὥστε τοὺς ὑποδιακόνους τοὺς τὰ ἱερὰ μυστήρια ψηλαφῶντας, καὶ τοὺς διακόνους καὶ πρεσβυτέρους κατὰ τοὺς ἰδίους ὅρους, καὶ ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι, ἵνα καὶ τὸ διὰ τῶν Ἀποστόλων παραδοθὲν, καὶ ἐξ αὐτῆς τῆς ἀρχαιότητος κρατηθὲν, καὶ ἡμεῖς ὁμοίως φυλάξωμεν, καιρὸν ἐπὶ παντὸς ἐπιστάμενοι πράγματος, καὶ μάλιστα νηστείας καὶ προσευχῆς. Χρὴ γὰρ τοὺς τῷ θυσιαστηρίῳ προσεδρεύοντας, ἐν καιρῷ τῆς τῶν ἁγίων μεταχειρίσεως ἐγκρατεῖς εἶναι ἐν πᾶσιν, ὅπως δυνηθῶσιν, ὃ παρὰ τοῦ Θεοῦ ἁπλῶς αἰτοῦσιν, ἐπιτυχεῖν. Εἴτις οὖν τολμήσοι, παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰς τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν, ἢ διακόνων, ἢ ὑποδιακόνων, ἀποστερεῖν τῆς πρὸς τὴν νόμιμον γυναῖκα συναφείας τε καὶ κοινωνίας, καθαιρείσθω. Ὡσαύτως καὶ, εἴτις πρεσβύτερος ἢ διάκονος, τὴν ἑαυτοῦ γυναῖκα προφάσει εὐλαβείας ἐκβάλλει, ἀφοριζέσθω· ἐπιμένων δὲ καθαιρείσθω».

Ταύτης οὔσης τῆς διδασκαλίας τῆς ἁγιωτάτης ἡμῶν ἐκκλησίας, προδήλως ἀφ' ἑαυτῆς πίπτει ἡ μομφὴ, ἣν ἐκ παρερμηνείας τῶν ἀποστολικῶν κειμένων οἱ τοῦ προτεσταντισμοῦ Μισσιονάριοι ζητοῦσιν ἵνα καθ' ἡμῶν δημιουργήσωσιν ὡς κωλυόντων δῆθεν τὸν γάμον τοῖς ἔσω τοῦ βήματος. Οὐχὶ, δὲν κωλύομεν, ἀλλὰ τίμιον εἶναι τὸν γάμον αὐτῶν δογματίζομεν, ὅταν μιᾶς γυναικὸς ἄνδρες λαχόντες τῇ φρικτῇ διακονίᾳ καταξιωθῆναι προσέρχωνται. Ἀπείργομεν δὲ τὴν εἰς τὸ βῆμα εἴσοδον μετὰ τῶν Ἀποστόλων ἀποφαινόμενοι· «ὁ χήραν λαβὼν, ἢ ἐκβεβλημένην, ἢ ἑταίραν, ἢ οἰκέτιν, ἢ τῶν ἐπὶ σκηνῆς, οὐ δύναται εἶναι ἐπίσκοπος, ἢ πρεσβύτερος, ἢ διάκονος ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ» (κανον. ιη΄ ἀποστ.), τὴν τοιαύτην διδασκαλίαν παρά τε τῶν Ἀποστόλων παραλαβόντες καὶ ἔκ τε τοῦ παλαιοῦ νόμου καὶ τῆς Καινῆς Διαθήκης ταύτην ἐκδιδαχθέντες· «γυναῖκα γὰρ, φησὶ, πόρνην καὶ βεβηλωμένην οὐ λήψονται, καὶ γυναῖκα ἐκβεβλημένην ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς. Ὅτι ἅγιός ἐστι Κυρίῳ τῷ Θεῷ αὐτοῦ» (Λευίτ. κα΄ 7, 13). Ἐὰν δὲ τοῦτο τοῖς τῇ σκηνῇ προσιοῦσιν ἐπετάσσετο, πολλῷ μᾶλλον τοῖς τῷ ἱερῷ εἰσιοῦσι βήματι δέον ἵνα ἐμποδίζηται, ἐπειδὴ αὐτὸς ὁ Σωτὴρ μείζονα τὴν ἱερότητα τούτου εἶναι καθώρισεν, εἰπών· «λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μείζων ἐστὶν ὧδε» (Ματθ. ιβ΄ 1).

Ἀλλ' ἐροῦσιν οἱ τοῦ προτεσταντισμοῦ μισσιονάριοι, τὸν λόγον μηκύνετε ἐπὶ πρεσβυτέρων, διακόνων καὶ ὑποδιακόνων καὶ οὐδὲν περὶ τῆς τῶν ἐπισκόπων ἀγαμίας λέγετε. Ὀρθόδοξός ἐστιν ἡ διδασκαλία ὑμῶν ἐν τοῖς ἁρῶσι τὰ τοῦ γάμου τῶν πρεσβυτέρων, διακόνων καὶ ὑποδιακόνων, αἱρετικὴ δὲ ἡ τὸν γάμον τῶν ἐπισκόπων ἀπείργουσα, ἣν παραλαβόντες διὰ τοῦ ιβ΄ κανόνος τῆς ς΄ οἰκουμενικῆς Συνόδου, ἀπὸ τοῦ 691 μ. Χ. ἀκολουθεῖτε, ὅθεν καὶ μὴ ἔχοντες οὐδὲν εἰς ἀπόκρουσιν τῆς μομφῆς ἡμῶν ταύτης τὸν λόγον ἐκ τῶν ἐπισκόπων ἐκφεύγετε.

Ἀλλ' οἱ ταῦτα λέγοντες ἀφορμῶνται ἐκ τῆς μονομεροῦς καὶ ἀσχέτου πρὸς τὰ λοιπὰ γραφικὰ κείμενα λήψεως χωρίου τινὸς καὶ δημιουργοῦσι μομφὴν ὅλως σφαλερὰν.

Οἱ θεῖοι ἀπόστολοι συνεχώρησαν μὲν τὸν γάμον τῶν ἐπισκόπων ἐκ συγκαταβάσεως πρὸς τὴν ἀσθένειαν τῶν τότε καὶ τὰ ἤθη τῶν Ἰουδαίων καὶ τῶν ἐθνικῶν, πλὴν δὲν καθιέρωσαν τὰ τοῦ γάμου τούτου καὶ ὡς κανόνα ἱερὸν· ἐπέτρεψαν τοῖς ἐπισκόποις τὸ ἔχειν μίαν γυναῖκα, ἐπειδὴ, καθ' ἃ ὁ θεῖος Χρυσόστομος ἀποφαίνεται (λόγ. 6΄ εἰς Ἰωὴλ) μεγίστη ἐγκράτεια ἐλογίζετο τότε τοῦτο τοῖς ἐν πορνείᾳ κυλιομένοις Ἰουδαίοις τε καὶ ἐθνικοῖς, «ὅλως γὰρ ἠκούετο ἐν αὐτοῖς πορνεία, τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθεσεν ὀνομάζεται» (πρὸς Κορινθ. Α΄, ε΄, 1)· ὅθεν ὁ Χρυσορρήμων οὗτος πατὴρ ἐξηγῶν ἐν τῷ αὐτῷ λόγῳ τὴν πρὸς τὸν Τίτον παραίνεσιν τοῦ Παύλου, λέγοντος· «κατάστησον ἐπισκόπους, εἴτις ἐστὶν ἀνέγκλητος μιᾶς γυναικὸς ἀνὴρ», λέγει, «οὐκ ἐπειδὴ νόμον ἔθηκε τοῦτο, ἀλλ' ἐπειδὴ συνεκατέβη εἰς τὴν ἀσθένειαν»· ἕνεκεν τούτου καὶ ἡ ἁγία ς΄ οἰκουμενικὴ σύνοδος, ὁρῶσα προκόπτουσαν τὴν ἐκκλησίαν καὶ ἀνθοῦσαν τὴν πολιτείαν τῶν χριστιανῶν, ἔγνω ἵνα κανονίσῃ ὅπως ἀνθῇ καὶ ἡ τῶν ἀρχιερέων πολιτεία, διατάξασα τὰ περὶ ἀγαμίας καὶ σωφροσύνης αὐτῶν «οὐκ ἐπὶ ἀθετήσει ἢ

ἀνατροπῇ τῶν ἀποστολικῶς νενομοθετημένων, ἀλλὰ τῆς σωτηρίας καὶ τῆς ἐπὶ τὸ κρεῖττον προκοπῆς τῶν λαῶν, προμηθουμένη καὶ τὸ μὴ δοῦναι μῶμόν τινα κατὰ τῆς ἱερατικῆς καταστάσεως» (κανον. ιδ΄). Ταῦτα δὲ διέταξε πιστοποιηθεῖσα περὶ τῆς ἐκ συγκαταβάσεως δοθείσης ἀδείας τοῦ γάμου εἰς τοὺς ἀρχιερεῖς ὑπὸ τῶν ἀποστόλων· αὐτὸς γὰρ ὁ ἀπόστολος ὁ εἰπὼν «δεῖ οὖν τὸν ἐπίσκοπον μιᾶς γυναικὸς ἄνδρα εἶναι» καὶ «εἴτις ἀνέγκλητος μιᾶς γυναικὸς ἀνήρ», γράφων τοῖς Κορινθίοις διέτασσε· «πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε, ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ» (πρὸς Κορινθ. Α΄, ι΄, 32).

Τὰ αὐτὰ ἀείποτε ἡ ὀρθόδοξος ἐκκλησία πρεσβεύουσα, οὐδέποτε ἀλλοῖά τινα τῆς ἐν γάμῳ καὶ ἁγαμίᾳ κρατούσης ἐλευθερίας ἐδίδαξεν, ἀλλ' ἀρηρότως τῇ εὐαγγελικῇ καὶ ἀποστολικῇ διδασκαλίᾳ καὶ ἐν τοῖς περὶ τοῦ γάμου παρέμεινεν. Ὅθεν καὶ ἐν ἔτει 1672 περὶ τῶν ἐν Εὐρώπῃ ἀναφανέντων μεταρρυθμιστῶν μεγάλην συνεγείρασα τοπικὴν σύνοδον, ἀνεκήρυξε τάδε· «τοὺς μὴ βουλομένους (ἐξ οἰκείας δηλονότι ἐλευθέρας διαθέσεως) γάμῳ προσομιλῆσαι, ἀλλ' αἱρουμένους ἐν παρθενίᾳ βιοτεύειν ἄνδρας τε καὶ γυναῖκας μηδόλως ψαμὲν ἀντιτεταγμένως φέρεσθαι ταῖς ἁγίαις Γραφαῖς· ἀλλὰ καὶ ἐνδοξοτέρους τοὺς στεφάνους παρὰ Θεοῦ κομισοῦσιν, ὡς κρείττονα τῆς σωτηρίας ὁδὸν ἐκλεξάμενοι· ἐπεὶ ὁ μὲν ἐγγαμίζων καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐγγαμίζων κρεῖττον ποιεῖ, φησὶν ὁ ἀπόστολος (πρὸς Κορινθ. Α΄, ζ΄, 38). Καὶ γὰρ ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει τῷ Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί. Ὅθεν πολὺ κρεῖττόν ἐστι τὸ μεριμνᾶν τὰ τοῦ Κυρίου, ἢ μεριμνᾶν τὰ τοῦ κόσμου καὶ κρείττονας ἐπιμνηστεύει τὰς ἀντιδόσεις».

Ὅτι δὲ θεαρέστως ἡ ἁγία καὶ οἰκουμενικὴ τ΄ σύνοδος τὰ τῆς ἁγαμίας καὶ σωφροσύνης τῶν ἀρχιερέων ἐθεσμοθέτησε καὶ τοῦτο πράξασα οὐδαμῶς τῆς ἀποστολικῆς διδασκαλίας ἐξέκλινεν, ὡς οὐδ' ἐκκλίνει ἡ ἐκκλησία τὴν διδασκαλίαν ταύτην ἀκολουθοῦσα καὶ τὴν ἐλευθερίαν τοῦ ἀτόμου ἐν τοῖς τοῦ γάμου διασώζουσα, καὶ δογματίζουσα ὅτι ὁ μὴ ἐγγαμίζων κρεῖσσον ποιεῖ, πιστοποιούμεθα ἔκ τε τῶν μνησθέντων γραφικῶν κειμένων καὶ ἐκ τῶν ἐν τῇ Ἀποκαλύψει (κεφ. ιδ΄, 2—5) ἀναγινωσκομένων· «καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ φωνὴν ἤκουσα κιθαρῳδῶν, κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. Καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν, εἰμὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. Οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσι· οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ, ὅπου ἂν ὑπάγῃ· οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ· καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δόλος· ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ».

Ἀποδείξαντες τὴν ἐκ Θεοῦ σύστασιν τοῦ γάμου καὶ τὴν μὴ ἀντιστράτευσιν τῆς περὶ γάμου καὶ ἁγαμίας διδασκαλίας τῆς ἐκκλησίας ἡμῶν πρὸς τὰ εὐαγγελικὰ καὶ ἀποστολικὰ ἐπιτάγματα, ἐξετάσωμεν ἤδη εἰ τὰ τοῦ γάμου φέρουσι καὶ τὰ λοιπὰ τοῦ μυστηρίου συστατικά, ὅπως ἴδωμεν ἂν ἡ ἐν τοῖς μυστηρίοις ἀναγραφὴ αὐτοῦ ἦνε ἔλλογος, καὶ συνεπῶς ἂν ἡ ἐκ τῆς σειρᾶς τῶν μυστηρίων ἀπόκρουσις αὐτοῦ, ἡ ὑπὸ τῶν προτεσταντῶν γενομένη ἀντίκηται πρὸς τὴν τοῦ μυστηρίου διδασκαλίαν.

Ὁ γάμος πρὸς τῇ ἐκ τοῦ Θεοῦ συστάσει αὐτοῦ, παρουσιάζει ὡς καὶ τὰ λοιπὰ μυστήρια τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖα, δι' ὧν καταρτίζεται, καὶ τὴν πνευματικὴν χάριν τὴν δι' ἐπιτελέσεως αὐτοῦ μεταδιδομένην.

Τὰ ὁρατὰ ἢ αἰσθητὰ σημεῖά εἰσι·

α΄) Ἡ ἀπὸ στόματος ἐν τῷ ναῷ, παρόντων τῶν πιστῶν, συναίνεσις τῶν συζευγνυμένων εἰς τὴν τοῦ γάμου κοινωνίαν.

β΄) Ἡ πανηγυρικὴ εὐλογία ἐπὶ τῶν συζευχθέντων, ἐπιλεγομένη ὑπὸ τοῦ ἱερέως καὶ αἱ λέξεις ἐπὶ τοῦ ἀρραβῶνος, δι' οὗ ἄρχεται τὸ μυστήριον «ἀρραβωνίζεται ὁ δοῦλος τοῦ Θεοῦ καὶ ἡ δούλη τοῦ Θεοῦ» καὶ αἱ ἐπὶ τῆς στέψεως λέξεις, δι' ὧν ἐπισφραγίζεται «στέφεται ὁ δοῦλος τοῦ Θεοῦ καὶ ἡ δούλη τοῦ Θεοῦ εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος».

Ἡ μεταδιδομένη δὲ ἐν αὐτῷ χάρις εἶνε·

α΄) ἡ τοῦ γάμου στερέωσις, ὡς μαρτυρηθέντος ἐνώπιον τοῦ βήματος τοῦ Κυρίου καὶ εὐλογηθέντος διὰ τοῦ ἱερέως ὑπ' αὐτοῦ τοῦ Θεοῦ «ὃ ὁ Θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω» (Ματθ. ιθ΄ 6).

β΄) ἡ καθαγίασις τοῦ σκοποῦ τοῦ γάμου, τῆς τεκνοποιΐας, καὶ ἡ ἐκκάθαρσις τῆς ἀκαθάρτου φυσικῆς ὁρμῆς ἐξαγνιζομένης καὶ ἀνυψουμένης· ὅθεν καὶ ὁ ἀπόστολος λέγει· «τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός» (πρὸς Ἑβρ. ιγ΄ 4).

Τούτων οὕτως ἐχόντων, προδήλως οἱ μὴ ἐν τοῖς μυστηρίοις ἀναγράφοντες τὸν γάμον ἀντιστρατεύονται πρὸς τὴν τοῦ μυστηρίου ἔννοιαν καὶ ἀντιφάσκουσι πρὸς ἑαυτοὺς ἀποκρούοντες αὐτοβούλως ἱερὸν θεσμὸν ἅπαντα παρουσιάζοντα τὰ τοῦ μυστηρίου ἐσωτερικά τε καὶ ἐξωτερικὰ συστατικά.

(ἀκολουθεῖ).

ΜΝΗΜΕΙΩΝ ΓΡΑΠΤΩΝ ΠΕΡΙΣΥΝΑΓΩΓΗ.

ΜΑΡΚΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

ΑΝΕΚΔΟΤΟΙ ΛΟΓΟΙ (*)

Καὶ ὁ παμμέγιστος δὲ Διονύσιος ἐν κεφ. ιε΄ τῆς περὶ οὐρανίου ἱεραρχίας τρεῖς αὐτοῖς ἀποδίδωσι γενικὰς ἐνεργείας ἀλλήλων διωρισμένας· τὸ πρὸς τὸ ἄναντες ἐπιστρεπτικῶς

(*) Συνέχεια καὶ τέλος (ἴδ. Ἀληθείας τεῦχ. ΙΔ΄).

ἀνατείνεσθαι, ὅπερ ἐστὶ τὸ τὸν Θεὸν ὁρᾶν ἀκραιφνῶς κατὰ ἀναλογίαν τῆς ἑαυτῶν στάσεώς τε καὶ τάξεως· καὶ τὸ περὶ ἑαυτοὺς ἀρρεπῶς εἰλῆσθαι τῶν οἰκείων ὄντας ῥουρητικοὺς δυνάμεων, ὅπερ ἐστὶ τὸ ἑαυτοὺς νοεῖν καὶ ἀθετεῖν· καὶ τὸ τῇ περὶ τὰ δεύτερα κοινωνικῇ προσδῶ τῆς προνοητικῆς αὐτοὺς ἐν μεθέξει δυνάμεως εἶναι, ὅπερ ἐστὶ τὸ προνοεῖν τῶν καταδεεστέρων καὶ περὶ αὐτοὺς ἐνεργεῖν. Οὐκ ἄρα τὸ τὸν Θεὸν ὁρᾶν ἔργον μόνον καὶ διηνεκὲς κατὰ τὸν αὐτὸν τρόπον ἔχουσιν· εἰ δέ τις οἴοιτο διὰ τοῦτο καὶ τῆς μακαριότητος ὑφίεσθαι, διότι μὴ τὸν Θεὸν μόνον ἀεὶ κατ' ἐνέργειαν ἀκραιφνῶς ὁρῶσιν, ἀλλά τι καὶ ἕτερον ἔργον ἔχουσιν, ἐλεεινοὶ τῆς μικρολογίας, εἰ τοσοῦτον εὐαπόβλητόν τι χρῆμα νομίζει τὴν μακαριότητα εἶναι καὶ ἐν στενῷ κομιδῇ κατακεκλεισμένον, ὡς πρὸς μίαν ἐνέργειαν ἀεὶ συντετάχθαι καὶ μηδὲν ἔξω ταύτης ἐκνεῦσαι δύνασθαι· πῶς δ' ἂν καὶ ἀποβάλοιεν τὴν μακαριότητα οἱ ὅλοι δεύτεροι τῇ τοῦ πρώτου φωτὸς μεθέξει λεγόμενοί τε καὶ πιστευόμενοι, καὶ ἀκούοντες μὲν τῆς φωνῆς τῶν λόγων αὐτοῦ, ποιοῦντες δὲ τὸ θέλημα αὐτοῦ, πᾶσαν δὲ ὁμοίως ἐνέργειαν ἢ πρὸς Θεὸν ἢ κατὰ Θεὸν ἔχοντες; Ἐκ δὲ τῶν τοιούτων λόγων εἰκότως ἄρα καὶ τοὺς ἁγίους ἔφαμεν ἐλλιπῶς τὴν θεωρίαν ἐκείνην καὶ τὴν ἀπόλαυσιν ἔχειν διὰ τὴν τοιαύτην αἰτίαν, ὅτι πρὸς τὸν σωματικὸν ἐπιστρέφονται κόσμον καὶ προνοοῦσι τῶν ὁμοφύλων ἡμῶν καὶ τὸ πολὺ τοῦ χρόνου μεθ' ἡμῶν ὄντες διατελοῦσι διὰ τῶν οἰκείων λειψάνων θαυματουργοῦντες καὶ τοῖς δεομένοις ἐκασταχοῦ περιϊστάμενοι· οὐ γὰρ δυνατὸν αὐτοὺς ἅμα τε τὰς τοιαύτας ἐνεργείας ἀποδιδόναι καὶ συμπάσχειν τοῖς ἐπικαλουμένοις καὶ τῆς θεωρίας ἐκείνης ἀκραιφνῶς ἀπολαύειν. Ἀλλ' οὐ διὰ τοῦτό γε κακοδαιμονεῖν αὐτοὺς οἰησόμεθα καὶ τῆς μικρᾶς ῥανίδος τῆς θείας ἐκείνης χάριτος, δι' ἧς τοιαῦτα δύνανται πρὸς τὴν ἐσχάτην εὐδαιμονίαν ἀρκούσης. Διὰ τοῦτο τάχα καὶ ὁ θεῖος ἀπόστολος τὰ κατὰ τὴν ἀνάστασιν πάντα προδιαγράψας καὶ τοὺς περιλειπομένους ἁρπαγήσεσθαι εἰπὼν ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, μετὰ τοῦτο ἐπήγαγε· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, ὡς πρότερον οὐκ ὄντες πάντοτε σὺν Κυρίῳ διὰ τὴν πρὸς τὸ σῶμα ῥοπήν, ὃ φυσικῶς ἐφίεται ἀπολαυεῖν ἡ ψυχὴ καὶ τὴν πρὸς τὸν κόσμον τοῦτον ἐπιστροφὴν καὶ τὴν τῶν ὁμοφύλων ἐπιμέλειαν. Καὶ ὁ θεῖος δὲ Διονύσιος ἀκολούθως τῇ ἀποστολικῇ διανοίᾳ « ὅταν ἄφθαρτοι, φησί, καὶ ἀθάνατοι γενώμεθα καὶ τῆς χριστοειδοῦς καὶ μακαρίας ἐφικώμεθα λήξεως, ὅπερ ἔσται που πάντως κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, πάντοτε σὺν Κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα ». Μόνῳ ἄρα τῷ αἰῶνι ἐκείνῳ μετὰ τὴν τοῦ κόσμου τούτου παρέλευσιν ἡ τελεία τοῦ Θεοῦ θεωρία τε καὶ ἀπόλαυσις καὶ τὸ εἶναι πάντοτε σὺν αὐτῷ τεταμίευται.

Τρίτον ἦν τῶν ἠπορημένων, ὅτί ποτε καλοῦμεν τὴν μακαρίαν θεωρίαν ἐκείνων, ἧς ἀπὸ τοῦ νῦν οἱ ἅγιοι ἀπολαύουσι· καὶ αὕτη ἐστὶν ἡ δι' εἴδους, ἣν, φησὶν ὁ ἀπόστολος, καὶ οἱ κατ' οὐσίαν ἅγιοι τὸν Θεὸν θεωροῦσι. Πρὸς δὴ ταῦτά φαμεν ὅτι τὴν θείαν οὐσίαν ὁρᾶν ἢ νοεῖν ἢ γινώσκειν οὐδὲ μία γεννητὴ δύναται φύσις, οὐδ' αὐτοὶ τῶν ὑπερκοσμίων νόων οἱ πρῶτιστοι· πέφυκε γὰρ τὸ κατ' οὐσίαν γινωσκόμενον, εἰ γνωστόν ἐστι, περιλαμβάνεσθαι ὑπὸ τοῦ γινώσκοντος· ὑπ' οὐδενὸς δὲ ὁ Θεὸς περιλαμβάνεται, φύσις γὰρ ἀκατάληπτος. Καὶ περὶ τούτου τοὺς μακροὺς ἐκείνους καὶ καλοὺς λόγους ὁ Χρυσόστομος Ἰωάννης πεποίηται πρὸς ἀνομοίους γράφων, τοὺς τὴν οὐσίαν τοῦ Θεοῦ μεγαλαυχοῦντας εἰδέναι. Λέγει δὲ πρὸς αὐτοὺς καὶ ὁ Μέγας ἐν τῷ πρώτῳ τῶν πρὸς Εὐνόμιον· « τί ἐξαίρετον τῇ γνώσει τοῦ μονογενοῦς ἢ τοῦ ἁγίου πνεύματος καταλείψουσιν, εἴ περ αὐτοὶ τῆς οὐσίας αὐτῆς ἔχουσι τὴν κατάληψιν· οἱ γὰρ δὴ τῆς δυνάμεως καὶ τῆς σοφίας καὶ τῆς ἀγαθότητος τοῦ Θεοῦ τῷ μονογενεῖ τὴν θεωρίαν προσνείμαντες σύμμετρον ἑαυτοῖς θήσονται τῆς οὐσίας τὴν κατανόησιν· πᾶν γάρ που τὸ ἐναντίον εἰκὸς, αὐτὴν μέν που τὴν οὐσίαν ἀπερίοπτον εἶναι παντὶ πλὴν ἢ τῷ μονογενεῖ καὶ ἁγίῳ πνεύματι, ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ Θεοῦ ἀναγομένους ἡμᾶς καὶ διὰ τῶν ποιημάτων τὸν ποιητὴν ἐννοοῦντας, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας λαμβάνειν τὴν σύνεσιν, τοῦτο γάρ ἐστι τὸ γνωστὸν τοῦ Θεοῦ, ὃ πᾶσιν ἀνθρώποις ὁ Θεὸς ἐφανέρωσεν». Ὅτι δὲ καὶ αὐτοῖς τοῖς τῶν ἄυλων τάξεων ἡγουμένοις ἡ οὐσία τοῦ Θεοῦ οὐ θεωρεῖται, μάρτυς ὁ χρυσοῦς Ἰωάννης ἐν τοῖς εἰς τὸν Ὀζίαν λόγοις περὶ τῶν σεραφεὶμ οὕτω γράφων· « τίνος ἕνεκεν, εἰπέ μοι, καλύπτουσι τὰ πρόσωπα καὶ προβάλλονται τὰς πτέρυγας ἢ διὰ τὸ φέρειν τὴν ἐκ τοῦ θρόνου λάμπουσαν ἀστραπὴν καὶ τὰς μαρμαρυγὰς ἐκείνας, καίτοι γε οὐκ αὐτὸ ἄκρατον ἑώρων τὸ φῶς, οὐδὲ αὐτὴν ἀκραιφνῆ τὴν οὐσίαν, ἀλλὰ συγκατάβασις ἦν τὰ ὁρώμενα; Τί δέ ἐστι συγκατάβασις; Ὅταν μὴ, ὡς ἐστιν, ὁ Θεὸς φαίνηται, ἀλλ' ὡς δυνάμενος αὐτὸν θεωρεῖν υἱός τέ ἐστιν, οὕτως ἑαυτὸν δεικνύει ἐπιμετρῶν τῇ ἀσθενείᾳ τῶν ὁρώντων τῆς ὄψεως τὴν ἐπίδειξιν, ὥστε, κἂν τοῦ προφήτου λέγοντος ἀκούσῃς· Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου, μὴ τοῦτο ὑποπτεύσῃς ὅτι τὴν οὐσίαν εἶδεν ἐκείνην, ἀλλ' αὐτὴν τὴν συγκατάβασιν, καὶ ταύτην δὲ ἀμυδροτέραν ἢ περ αἱ ἄνω δυνάμεις. Καὶ ὁ αὐτὸς αὖθις ἐν τῷ πρώτῳ τῶν αὐτῶν λόγων τῆς ἁφάτου τὰ σεραφεὶμ ἀπολαύοντα δόξης τοῦ κτίστου, καὶ τὸ ἀμήχανον ἐνοπτριζόμενα κάλλος, οὐ λέγω αὐτὸ ἐκεῖνο, ὃ πέρ ἐστι τῇ φύσει ἀκατανόητον γὰρ τοῦτο καὶ ἀθεώρητον καὶ ἀσχημάτιστον καὶ ἄτοπόν ἐστι τὸ οὕτω περὶ αὐτοῦ ὑπολαμβάνειν, ἀλλ' ὅσον ἐγχωροῦσιν, ὅσον ὑπὸ τῆς ἀκτῖνος ἐκείνης ἰσχύουσι καταλάμπεσθαι, ἐπειδὴ διηνεκῶς λειτουργοῦσι κύκλῳ τοῦ βασιλικοῦ θρόνου, ἐν διηνεκεῖ χαρᾷ διατελοῦσιν, ἐν ἀϊδίῳ εὐφροσύνῃ, ἐν ἀγαλλιάσει ἀκαταπαύστῳ». Καὶ ὁ μέγας Γρηγόριος ὁ τῆς Νύσσης ἐν τῇ τῶν μακαρισμῶν ἐξηγήσει «ἡ θεία φύσις αὐτὸ καθ' αὐτό ἐ, τί ποτέ ἐστι κατ' οὐσίαν, πάσης ὑπέρκειται καταληπτικῆς ἐπινοίας». Καὶ ὁ μακάριος Αὐγουστῖνος ἐν τῷ λα' κεφ. τῶν καλουμένων μονολόγων ἐντεύξεως πρὸς Θεὸν ὅτι «ἀθεώρητον, καὶ ἀόρατον, καὶ ὑπὲρ λόγον, καὶ ὑπὲρ νόησιν, καὶ ὑπεραπρόσιτον, καὶ ὑπεραμετάβλητον, καὶ ὑπερακοινώνητον ἐκεῖνο πιστεύεται, ὅπερ οὐδεὶς οὐδέποτε ἀνθρώπων ἢ ἀγγέλων εἶδεν ἢ δύναται ἰδεῖν»· καὶ μετ' ὀλίγον «τριὰς ἡ ἁγία, ὑπεράριθμε, ὑπερα-

διήγητε, ὑπερανεξερεύνητε, ὑπεραπρόσιτε, ὑπερακατάληπτε, ὑπερούσιε, καὶ ὑπερουσίως ὑπερέχουσα πάντα νοῦν, πάντα λόγον, πᾶσαν διάνοιαν, πᾶσαν νόησιν, πᾶσαν οὐσίαν τῶν ὑπερουρανίων, ἣν οὔτε νοεῖν, οὔτε λογίζεσθαι, οὔτε λέγειν, οὔτε γινώσκειν δυνατὸν καὶ αὐτοῖς τοῖς ἀγγέλων ὀφθαλμοῖς, ἣν οὔτε τὰ χειρουβεὶμ τελείως γινώσκει, οὔτε τὰ σεραφεὶμ, ἀλλὰ ταῖς πτέρυξι τῶν ἰδίων θεωριῶν καλύπτονται τὰ πρόσωπα ἀπὸ τῆς αἴγλης τοῦ καθημένου ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου». Εἰ τοίνυν κατὰ τοὺς διδασκάλους τούτους ἀθεώρητος ἡ τοῦ Θεοῦ οὐσία καὶ τοῖς ἀγγέλοις αὐτοῖς, καὶ ἀπερίοπτος παντὶ πλὴν ἢ τῷ μονογενεῖ λόγῳ καὶ τῷ ἁγίῳ πνεύματι, οὐδ' ἄρα τοῖς ἁγίοις αὖτη θεωρητὴ κατ' οὐδένα τρόπον, οὔτε κατὰ τὸν αἰῶνα τοῦτον, οὔτε κατὰ τὸν μέλλοντα. Τί οὖν ἐστιν, ὃ θεωροῦσιν οἱ ἅγιοι, φαίητ' ἂν ἴσως, εἰ μὴ κατ' οὐσίαν τὸν Θεὸν θεωροῦσιν; Ὃ καὶ οἱ ἄγγελοι, φαῖεν ἂν οἱ διδάσκαλοι, καὶ οἱ τῶν ἀγγέλων πρῶτοι· τῆς ἀφάτου, φασὶ, τὰ σεραφεὶμ ἀπολαύοντα δόξης τοῦ κτίστου καὶ τὸ ἀμήχανον ἐνοπτριζόμενα κάλλος. Ὅς δυνάμενος αὐτὸν θεωρεῖν οἷός τέ ἐστιν, οὕτως ἑαυτὸν δεικνύει. Τί ἐστιν ὁ θεωροῦσιν; Οὗ καὶ μετέχουσι. Μετέχουσι δὲ οὐ τῆς οὐσίας αὐτῆς, ἄπαγε. Ἀλλὰ τίνα τρόπον Θεοῦ μετέχουσιν; Ἄκουσον τοῦ θειοτάτου Μαξίμου τί περὶ τῆς μεθέξεως ἐκείνης διδάσκει. Λέγει γὰρ οὗτος ἐν κεφ. τρίτῳ τῆς ζ' τῆς γ' δεκάδος τῶν Γνωστικῶν «ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται, ὁπότε καὶ αὐτὸς ὁ τρόπος, καθ' ὃν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέφικτος». Ἤκουσας; Αὐτὸς ἔφα· μηδὲν λοιπὸν προσπεριεργάζου, μένε δὲ διὰ τῆς πείρας μαθεῖν ἢ παθεῖν μᾶλλον, ἂν ἧς ἄξιος. Εἰς τοῦτο ἐμὲ φέρει τὸ μέτριον· ἐνταῦθα φέγγος τῆς ἀληθείας, φησὶν ὁ θεολόγος Γρηγόριος, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσαντος, καὶ αὖθις συνδήσαντος ὑψηλότερον. Σύμφωνα καὶ οὗτος τῷ μεγάλῳ Διονυσίῳ μετὰ τὸν ὑψηλὸν ἐκεῖνον καὶ θεῖον σύνδεσμον τὴν τοῦ Θεοῦ λαμπρότητα καὶ ἰδεῖν καὶ παθεῖν ἐλπίζει καὶ εὔχεται. Διαφορᾶς τοιγαροῦν ἐν ταῖς θεωρίαις εὑρισκομένης, καὶ τῆς μὲν αὐτῶν διὰ πίστεως καλουμένης, τῆς δὲ δι' ἐσόπτρου καὶ αἰνίγματος, τῆς δὲ δι' εἴδους, ἑτέρας δὲ πρόσωπον πρὸς πρόσωπον, ἔστι μὲν οὐδὲ μία τούτων τῆς οὐσίας κατανόησις· καὶ γὰρ Μωϋσῆς ἐνώπιος ἐνωπίῳ τῷ Θεῷ ὁμιλῆσαι γέγραπται καὶ στόμα κατὰ στόμα λαλῆσαι αὐτῷ ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων, ἀλλ' οὐδείς ἐστιν ἐνυποστόματι (;) καὶ οὐσίαν Κυρίου κατὰ τὸ γεγραμμένον, καὶ Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν, οὔτε Θεόν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογενὴς υἱὸς ἐξηγήσατο. Τελεωτέραν δὲ θεωρίαν ἑτέραν ἑτέρως εἶναι καὶ ἐν αὐταῖς ἠριθμημέναις οὐδὲν τὸ κωλῦον ὡς εἶναι τελειοτάτην μὲν ἐκείνην τὴν τότε ἐλπιζομένην μετὰ τὴν τελείαν ἀποκατάστασιν, τὰς δὲ λοιπὰς ὡς ἐθέλοι ἄν τις καλεῖν ἐξεῖναι πρὸς ἀλλήλας συγκρινομένας. Οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ νῦν τοὺς ἁγίους φαίημεν δι' εἴδους ὁρᾶν τὸν Θεὸν κατὰ σύγκρισιν τὴν πρὸς τὸν παρόντα βίον ὡς τελεώτερον βλέποντας. Ὅτι δὲ καὶ ταύτης ἡ μετὰ τὴν κρίσιν ἐκείνη τελεωτέρα καὶ μόνη δικαίως ἂν καλουμένη πρόσωπον πρὸς πρόσωπον, μαρτυρεῖ καὶ ὁ μακάριος Αὐγουστῖνος ἐν κεφ. ιθ' τοῦ ιδ' βιβλίου περὶ τριάδος οὕτω λέγων· « ἡ ἀνακαινιζομένη εἰκὼν ἐν τῷ πνεύματι τοῦ νοὸς ἐν ἐπιγνώσει τοῦ Θεοῦ οὐκ ἐκτὸς ἀλλ' ἐντὸς εἰς ἡμέραν ἐξ ἡμέρας αὐτῇ τῇ αὐτοφίᾳ τελειωθήσεται· ἥτις τηνικαῦτα ἔσται πρόσωπον, πρὸς πρόσωπον, νῦν δὲ βλέπει δι' ἐσόπτρου καὶ αἰνίγματος. Εἰς διὰ τὴν τελείωσιν νοητέον ἐστὶ τὸ εἰρημένον ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστι· τοῦτο γὰρ τὸ δῶρον τηνικαῦτα ἡμῖν δοθήσεται, ἐπειδὰν ῥηθῇ « δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ».

Τέταρτον ἐπὶ τούτοις ἡμᾶς ἠρωτήσατε, τί ἐστιν ἡ ἐκ τοῦ Θεοῦ πεμπομένη αἴγλη, ἧς ἀπολαύειν ἐν οὐρανοῖς τοὺς ἁγίους λέγομεν. Ἤδη μὲν οὖν εἴρηται περὶ ταύτης ὅσον ἐγχωροῦν εἰπεῖν τοῖς μὴ πείρᾳ μαθοῦσιν ἐκ τῶν ἁγίων λαμβάνουσιν· εἰρήσεται δὲ καὶ νῦν οὐδὲν πλέον, ἀλλ' ὅπερ αὐτοὶ λέγουσιν. Ὁριζόμενος γὰρ αὐτὴν ὁ σοφὸς ἀρχιτέκτων τῆς οὐρανίου κλίμακος Ἰωάννης ὁ θεοφόρος ἣν ἐκεῖνος ἔλλαμψιν ὀνομάζει, τοιάδε φησίν. « Ἔλλαμψίς ἐστιν ἐνέργεια ἄρρητος ὁρωμένη ἀοράτως καὶ νοουμένη ἀγνώστως». Ἤκουσας τὸν ὅρον; μηδὲν πλέον πολυπραγμόνει· περὶ ἀοράτων γὰρ ἡμεῖς καὶ ἀγνώστων οὐ βουλόμεθα λέγειν, οὐδὲ δυνάμεθα.

Πέμπτον πρὸς τούτοις ἐρωτώντων ὑμῶν ὅ,τι νοοῦμεν διὰ τῆς τοῦ Θεοῦ βασιλείας καὶ τῶν ἀρρήτων ἐκείνων ἀγαθῶν, ὧν ἐν ἀπολαύσει τελείᾳ τοὺς ἁγίους οὔπω γεγονέναι φαμὲν, ἀπεκρινάμεθα καὶ τότε καὶ νῦν λέγομεν ὅτι τὴν τοῦ Θεοῦ βασιλείαν ὁ τῷ ὄντι μέγιστος ὁριζόμενος Μάξιμος «ἡ τοῦ Θεοῦ, φησὶ, βασιλεία τῶν προσόντων τῷ Θεῷ φυσικῶς ἀγαθῶν κατὰ χάριν ἐστὶ μετάδοσις»· τὰ δὲ ἀγαθὰ ἐκεῖνα, ἅ φησιν ὁ ἀπόστολος ὀφθαλμὸν μὴ ἰδεῖν καὶ οὖς μὴ ἀκοῦσαι καὶ καρδίαν ἀνθρώπου μὴ παραδέξασθαι, ἄνθρωποι ὄντες οὐ τολμῶμεν περιεργάζεσθαι· ῥᾷον γὰρ εἶναι νομίζομεν τοὺς τῇ πείρᾳ μαθόντας ἐκεῖθεν ἡμῖν ἀπαγγεῖλαι περὶ τῶν ἀγαθῶν ἐκείνων, ὁποῖα τὴν φύσιν εἰσὶν, ἢ τοὺς μὴ πεπειραμένους ἡμᾶς ἀποδεικνύναι τῷ λόγῳ πειρᾶσθαι τὰ ὑπὲρ λόγον. Ἀλλὰ καὶ τοῦτο κἀκεῖνο τῶν ἀδυνάτων ἐστί. Γλυκύτητα γὰρ, φησὶ, μέλιτος πῶς ἀναγγείλω τοῖς ἀγνοοῦσιν; Ἔοικα δὲ ὅμως οὐκ ὀνόματι ταῦτα διαφέρειν μόνον, ἀλλὰ πράγματι, καὶ τοῦτο εἰκότως· εἰ γὰρ τοῖς ἁμαρτωλοῖς οὐχ ἡ τοῦ Θεοῦ μόνον ἔκπτωσις, ἀλλὰ καὶ γέενά τις ἠπείληται καὶ ἕτεραι βάσανοι, καὶ τοῖς δικαίοις ἄρα προσήκειν εὔλογον οὐ τὴν τοῦ Θεοῦ θεωρίαν μόνην, ἀλλὰ καὶ ἑτερά τινα ἀγαθὰ τὰ ταῖς γραφαῖς μυστικῶς παραδεδομένα, περὶ ὧν ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ φησίν· «ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσι», ζωὴν μὲν ὀνομάζων τὴν αἰώνιον ἐκείνην, περὶ ἧς φησιν· «αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»· περισσὸν δὲ τὰ λοιπὰ ἀγαθὰ, ὧν οἱ ἅγιοι ἀπολαύουσι.

Τὸ δὲ ἕκτον, ὡς γέγραπται παρ' ὑμῶν, εἴπομέν τε καὶ νῦν λέγομεν ὅτι αἱ ψυχαὶ τῶν ἐν ταῖς θανασίμοις ἀποβιούντων ἁμαρτίαις ἐν τῷ ᾅδῃ μέν εἰσιν ὡς ἐν δεσμωτηρίῳ καὶ φυλακῇ κατακεκλεισμέναι, κολάζονται δὲ οὐδέπω καὶ νῦν ἐν τῷ πυρὶ τῆς γεέννης, ἀλλ' οἷον πρὸ ὀφθαλμῶν ἔχουσαι τοῦτο τῇ θέᾳ τε καὶ τῇ προσδοκίᾳ τοῦ πάντως εἰς αὐτὸ ἐμπεσεῖσθαι, πικρώτατα ὀδυνόνται.

Ἕβδομον ἐπὶ τούτοις ἦν τῶν ἠρωτημένων, ὅπως αἱ τῶν ἁγίων ψυχαὶ πᾶσαν εὐφροσύνην καὶ θυμηδίαν καρποῦνται, μηδέπω ἀπολαβοῦσαι ἐκεῖνα τὰ ἄρρητα ἀγαθά. Καὶ πρὸς τοῦτο λέγομεν ὅτι καὶ τὸ μέρος τῶν ἤδη δοθέντων αὐτοῖς πάσης ἐστὶ θυμηδίας ποιητικόν, ὅπου γε τὸν Θεὸν ὁρῶσιν ἀμέσως, ὡς καὶ οἱ ἄγγελοι βλέπουσι, καὶ ἡ ἐλπὶς τῶν δοθησομένων οὕτω βεβαιοτάτη τυγχάνουσα, βεβαίας αὐτοὺς εὐφροσύνης ἱκανῶς ἔχει ἐμπιπλᾶν. Ἐπὶ δὲ τούτοις ἐπελθὸν οὕτω καὶ τῶν τριῶν ἐμνήσθημεν ἀρετῶν: πίστεως, ἐλπίδος καὶ ἀγάπης· πᾶσαι μὲν ἐνεργοῦνται κἂν τῷ παρόντι βίῳ, τριῶν δ' ὅμως οὐσῶν καταστάσεων τῶν ἀνθρώπων, τῆς τε ἐν τῷ βίῳ τούτῳ καὶ τῆς μετὰ τὴν ἐνθένδε ἀπαλλαγῆς καὶ τῆς ἐν τῷ αἰῶνι τῷ μέλλοντι, μιᾷ τούτων ἑκάστῃ μίαν τῶν ἀρετῶν προσήκειν φαμὲν καὶ κατ' αὐτὴν ἐνεργεῖσθαι τελείως. Ἔστι γὰρ ἡ μὲν πίστις τοῦ παρόντος ἔργον αἰῶνος· διὰ πίστεως γὰρ ἐνταῦθα περιπατοῦμεν, καὶ πάντες οἱ ἅγιοι διὰ πίστεως εὑρέστησαν τῷ Θεῷ. Ἡ δὲ ἐλπὶς μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν· ἐνταῦθα μὲν γὰρ ὁ φόβος αὐτῇ συνέζευκται, καὶ Παῦλος αὐτὸς φοβεῖται μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται, λυθέντος δὲ τοῦ θεάτρου καὶ τοῦ τῶν ἀγώνων καιροῦ παρελθόντος, ἕτοιμα τὰ βραβεῖα καὶ μονονοὺχ ἐν χειρὶ, καὶ λοιπὸν ὁ τῆς δικαιοσύνης ἐπίκειται στέφανος. Ὅτι δὲ τῇ ἐλπίδι τὸ χαίρειν ἕπεται, καὶ ταῦτ' αὐτὸς ὁ μέγας ἀπόστολος Παῦλος παραδηλοῖ· τῇ γὰρ ἐλπίδι, φησὶ, χαίροντες. Λοιπὴ δὲ ἡ ἀγάπη τελειοτάτη τῶν ἀρετῶν οὖσα καὶ μείζων ἁπασῶν τούτων καὶ κορυφὴ τῶν καρπῶν τοῦ πνεύματος, διὰ τοῦτο καὶ μόνη τοῦ μέλλοντος ἔργον αἰῶνος, καὶ δι' αὐτῆς οἱ ἅγιοι συνάπτονταί τε καὶ σύνεισι τῷ Θεῷ, τῆς ἐλπίδος λοιπὸν καὶ πίστεως παρελθούσης.

Ἐπὶ τούτοις ὄγδοον ἠρωτήσατε, εἰ οἱ τῆς θείας θεωρίας στέρησις μείζων εἴη τιμωρία τοῖς κατακρίτοις τοῦ αἰωνίου πυρὸς, καὶ εἰ ταύτῃ τῇ τιμωρίᾳ κολάζοιντο οἱ κατάκριτοι. Καὶ πρὸς ταῦτ' ἀπεκρινάμεθα μείζονα μὲν ἁπασῶν εἶναι ταύτην καὶ βαρυτέραν, ἅτε καὶ τῶν λοιπῶν ὥσπερ αἰτίαν οὖσαν καὶ ὑποβάθραν, ἔσεσθαι δὲ καὶ ταύτην ἔτι πολλῷ βαρυτέραν καὶ μείζονα μετὰ τὴν πικρὰν ἐκείνην καὶ τελευταίαν ἀπόφασιν τὴν «πορεύεσθε, λέγουσαν, ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον»· τότε γὰρ καὶ αὐτοὶ τὸν Θεὸν ἰδόντες τὸ τελευταῖον, ὡς ἐγχωροῦν ἐκείνοις ἰδεῖν, οὐκ ἔτ' αὐτὸν οὐδ' ἐλπίσουσιν ὄψεσθαι τοῦ λοιποῦ, καὶ ὡς τοιοῦτον δεσπότην καὶ τηλικοῦτον παρωργικότες πικρότατα πάντων ἀνιαθήσονται.

Ἔτι πρὸς τούτοις ἔννατον περὶ τῶν τιμωριῶν, ἃς ἔφαμεν ὑπομένειν τοὺς μέσους, ἐζητήσατε μαθεῖν εἰ ἀμοιβαδὸν ἁπάσας ὑπομένουσιν, ἤγουν τὴν ἄγνοιαν, τὴν λύπην, τὴν τοῦ συνειδότος αἰσχύνην καὶ τὰ λοιπά. Λέγομεν δὲ καὶ πρὸς τοῦτο, καθὼς καὶ γεγράφατε, ὅτι ποικίλων οὐσῶν καὶ ἀνίσων τῶν ἀνθρωπίνων ἁμαρτιῶν, ἐνίοις μὲν ἁρμόζουσιν ἅπασαι αἱ τοιαῦται τιμωρίαι, τινὲς δὲ ἑτέροις, καί τισι μὲν πλείους, τισὶ δὲ ἐλάττους.

Δέκατον ἐρωτώντων ὑμῶν ὅ,τι νοοῦμεν διὰ τῆς ἀδηλίας τοῦ μέλλοντος, ἀπεκρινάμεθα κατὰ τὸν χρόνον λόγον εἶναι τῶν ἀδήλων, ὁπότε τῶν τιμωριῶν ἐκείνων ῥυσθήσονται καὶ τῷ τῶν σωζομένων χορῷ συναφθήσονται.

Τὴν δὲ τῆς συνειδήσεως αἰσχύνην, ἥτις ἐστὶν ἑνδέκατον ζήτημα, προβαλλομένων ὑμῶν, ἀπεκρινάμεθα πᾶσαν ἁμαρτίαν, ἥτις οὐ λέλυται διὰ μετανοίας, αἰσχύνην τινὰ καὶ βάσανον τῇ ψυχῇ κατὰ συνείδησιν ἐμποιεῖν· τοῦτον γὰρ εἶναι καὶ τὸν ἀντίδικον, ᾧ εὐνοεῖν ἡμᾶς ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις διδάσκει, καθὼς παραδίδωσιν ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης, τὸ συνειδὸς τὸ ἡμέτερον ὑπομιμνήσκων ἡμᾶς τῶν ἡμαρτημένων καὶ ἀπαιτῶν τὰς εὐθύνας καὶ τὴν ψυχὴν καταισχύνων. Εἰ μὲν οὖν ἀκριβὴς ἡ μετάνοια καὶ τελεία γένοιτο, λέλυται ἡ ἁμαρτία καὶ ἡ ἐπ' αὐτῇ τιμωρία καὶ τὸ κωλῦον οὐδὲν τὸν ἀπολυθέντα τοῦ σώματος ἐν τῷ τῶν σωζομένων κλήρῳ καταλεγῆναι· εἰ δὲ ἐλλιπὴς ἡ μετάνοια εἴη καὶ μὴ τοῖς ἡμαρτημένοις ἀναλογοῦσα, πάντως οὐδὲ ἡ ἁμαρτία ἀφέθη, καὶ διὰ τοῦτο ταῖς τιμωρίαις ἐκείναις ἐνέχονται οἱ οὕτως ἀποβιοῦντες, οὐχ ὅτι τὴν ἄφεσιν ἐκομίσαντο, τὴν δὲ ποινὴν οὐκ ἔρθασαν ἀποτῖσαι. Πολλὰ δὲ τοιαῦτα καθ' ἑκάστην ἁμαρτάνομεν τὴν ἡμέραν, ἐφ' οἷς ἢ οὐδόλως ἢ οὐ γνησίως μετανοοῦμεν, οὔτε δι' ἑτέρων ἀγαθῶν πράξεων ἀντιστηκοῦμεν αὐτὰ, καὶ διὰ τοῦτο πολλὰ τῶν τοιούτων ἐν τῷ καιρῷ τοῦ θανάτου ἢ μετὰ θάνατον τὰ μὲν ὑπὸ τῆς θείας ἀγαθότητος παρορῶνται κατὰ τὸν ἐν ἁγίοις μέγιστον Διονύσιον, τὰ δὲ δι' εὐποιιῶν καὶ εὐχῶν καὶ τῶν ἄλλων, ὅσα παρὰ τῆς ἐκκλησίας ἐπὶ τοῖς τεθνεῶσι γίνονται, συγχωροῦνται.

Ἔτι δωδέκατον ἡμῖν προεβάλεσθε τὴν τῶν κατακρίτων ἄνεσιν, οὓς ὠφελεῖσθαι διὰ τῶν τῆς ἐκκλησίας εὐχῶν εἴπομεν, ἢ ποίαν τινὰ χρῆναι νομίζειν. Ἀπεκρινάμεθα τοίνυν ἐκ τῶν πατέρων ἡμῶν ἔχοντες ὅτι μένουσιν ἐν οἷς καὶ πρότερον ἦσαν. Ἡ παραμυθία τοῖς κατακρίτοις δίδοται καὶ οὐκ εἰς ἅπαν ἀπαλλαττομένοις. Ἔστι δὲ καὶ τοῦτο μέγα τοῖς ταλαιπώροις τὸ μετρίας γοῦν τινος καὶ προσκαίρου παραψυχῆς ἀπολαῦσαι. Τοὺς δαίμονας δὲ οὐ πάντας, ἀλλά τινας ἴσως αὐτῶν τοὺς βιαιοτέρους ἐγκαθεῖρχθαι σὺν αὐτοῖς ὡς ἐν φυλακῇ καὶ δεσμοῖς εἴπομεν κατὰ τὴν τοῦ ἀποστόλου φωνὴν, ὃς φησιν ὅτι ἀγγέλων ἁμαρτησάντων ὁ Θεὸς οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσαι παρέδωκεν εἰς κρίσιν τηρουμένους. Καὶ τὰς σάρκας ὁποῖαί τινές εἰσιν ἐρωτώντων ὑμῶν, ἀπεκρινάμεθα τάχα τὴν ἀπραξίαν τῶν προτέρων κακῶν, ἅπερ ἐνήργουν ἐν τοῖς ἀνθρώποις, σειρὰς χρῆναι νοεῖσθαι, τὴν κόλασιν δὲ καὶ αὐτοὺς ὅμως εὐτέλειαν ὑπέχειν· πρόσκειται γὰρ τὸ εἰς κρίσιν τηρουμένους, ὃ πέρ ἐστι τότε τὴν τελείαν κόλασιν ὑποστησομένους.

Τὸ τρισκαιδέκατον ἠρωτήσατε, τίνες εἰσὶν αἱ σμικραὶ καὶ κοῦφαι τῶν ἁμαρτιῶν, αἷς οἱ μέσοι ἐνέχονται, καὶ λα-

δόντες ὅτι αἱ παρ' ἡμῶν συγγνωσταὶ καλούμεναι, οἷον ἀργὸς λόγος καὶ τὰ τοιαῦτα, μὴ δύνασθαι ταύτας μένειν ἐν τοῖς ἀπαλλαττομένοις μετὰ ἀγάπης εἰρήκατε διὰ τὸ ἀπόφασιν ἡμετέραν εἶναι τὴν ἀγάπην ἐξαλείφουσιν τὰ μείζω τῶν ἁμαρτημάτων καὶ τὰ ἐλάττονα ἀπαλείφειν. Τοῦτο δὲ οὐχ ἡμετέρα ἐστὶν ἀπόφασις, οὐδὲ τὸ ὄνομα γνώριμον παρ' ἡμῖν ὅλως. Οὐ γὰρ ἀγάπην, ἀλλὰ τὴν μετάνοιαν αὐτὴν εἶναι τὴν συγχωροῦσαν τὰ ἡμαρτημένα φαμὲν, καὶ τοῦτο δῆλον ἐξ ὧν ὁ Χρυσόστομος Ἰωάννης πολλαχοῦ καὶ πολλάκις ἐν τοῖς οἰκείοις λόγοις περὶ μετανοίας διδάξας καὶ δεύτερος κῆρυξ μετὰ τὸν συνώνυμον χρηματίσας τῆς μετανοίας καὶ τὴν ἰσχὺν αὐτῆς ἱκανώτατα παραστήσας, οὐδαμοῦ τῆς ἀγάπης ἐμνημόνευσεν ὡς ἂν τοῖς μετανοοῦσιν εὑρισκομένης, καὶ τοῦτο εἰκότως. Εἰ γὰρ φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, καὶ ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, φόβος δὲ ὁ τὴν μετάνοιαν μάλιστα συνιστῶν. Ὑπέρκειται ἄρα τῆς μετανοίας ἡ ἀγάπη τελειοτάτη τῶν ἀρετῶν οὖσα καὶ οὐ τοῖς μετανοοῦσι, τοῖς δὲ τελείοις κατ' ἀρετὴν προσήκουσα. Τὴν μὲν οὖν ἀπόφασιν ταύτην οὐχ ἡμεῖς παρ' ἡμῶν αὐτῶν ἐξηνέγκαμεν, ἀλλ' ὑμῶν τοὐναντίον εἰπόντων ὡς ἡ ἀγάπη τὰς μεγάλας καὶ θανασίμους τῶν ἁμαρτιῶν ὡς ἐναντίας αὐτῇ ἀπαλείφουσα, τὰς μικρὰς οὐ δύναται τοῦτο ποιεῖν, ὡς ἀπίθανον τὸν λόγον ἠλέγξαμεν. Περὶ δὲ τῆς μετανοίας ἡμεῖς φαμεν ὡς μετάνοια τῶν πρός τι τυγχάνουσα, τινῶν γάρ ἐστι, τοῦτ' ἔστιν ἁμαρτιῶν, ἐφ' αἷς μὲν ἁμαρτίαις γνησίως τε καὶ τελείως γίνεται, ταύτας καὶ δύναται ἐξαλείφειν, εἰ καὶ μέγισται πασῶν ὑπάρχουσιν, ἐφ' αἷς δὲ ἀμελεῖται ἢ διὰ σμικρότητα νομιζομένην ἢ διὰ λήθην, αὗται κἂν μικραὶ δοκῶσιν, ἀνεξάλειπτοι μένουσι, καὶ ἐπ' αὐταῖς δεῖται τῆς θείας φιλανθρωπίας ὁ τεθνεὼς, ἵνα διὰ τῶν τῆς ἐκκλησίας εὐχῶν ἄφεσιν κομισάμενος ἐν τῷ χορῷ τῶν σωζομένων ἀριθμηθῇ.

Τεσσαρακαιδέκατον καὶ τελευταῖον ἦν τῶν ἠρωτημένων, εἰ τοῖς μετανοοῦσιν ἡμεῖς ἐπιτίθεμεν ἐπιτίμια καὶ τίνος χάριν. Λέγομεν οὖν ὡς οὐ πρότερον τὴν ἄφεσιν καὶ τὴν λύσιν δόντες, ὥσπερ ἔχομεν ἐξουσίαν παρὰ Θεοῦ, τότε τὰ ἐπιτίμια τάττομεν, ἀλλ' οὐκ ἄλλως τὴν ἄφεσιν δίδομεν ἢ μετὰ τοιούτων ἐπιτιμίων. Ποιοῦμεν δὲ τοῦτο διὰ πολλὰς τὰς αἰτίας. Πρῶτον μὲν, ἵνα διὰ τῆς ἐνταῦθα κακοπαθείας, ἣν ἑκὼν ὁ ἡμαρτηκὼς καταδέχεται, τῆς ἑκουσίου τιμωρίας ἐκεῖσε ἀπαλλαγῇ· οὐδενὶ γὰρ οὕτω τῶν ἄλλων ὡς κακοπαθείᾳ Θεὸς θεραπεύεται, φησὶν ὁ θεολόγος Γρηγόριος, καὶ δάκρυσι τὸ φιλάνθρωπον ἀντιδίδοται. Δεύτερον, ἵνα τὸ φιλήδονον φρόνημα τῆς σαρκὸς, ὃ τὴν εἰς Θεὸν ἔχθραν ἀπογενναν εἴωθε καὶ πάσης ἁμαρτίας ἐστὶν αἴτιον, διὰ τῆς ἐπιπόνου ταύτης μεθοδίας ἐξαιρεθῇ· τὰ γὰρ ἐναντία, φασὶ, τῶν ἐναντίων ἰάματα, καὶ τὴν ἡδονὴν ἀνάγκη δι' ἡδονῆς ἀποβλίβεσθαι. Τρίτον, ἵνα δεσμός τις ᾖ χαλινὸς τῇ ψυχῇ τὸ δοθὲν ἐπιτίμιον εἰς τὸ μηκέτι τοῖς αὐτοῖς ἐγχειρῆσαι κακοῖς. Τέταρτον, ὅτι καὶ φύσει τὸ τῆς ἀρετῆς χρῆμα ἐπίπονον, καὶ δεῖ συνεθισθῆναι τοῖς πόνοις τὸν εἰς ἕξιν αὐτῆς ἐλεύσεσθαι μέλλοντα, καθάπερ διὰ τῆς ἡδονῆς εἰς τὴν ἁμαρτίαν ὑπώλισθε. Πέμπτον, ὅτι καὶ πίστεις λαβεῖν βουλόμεθα διὰ τῆς τοῦ δοθέντος ἐπιτιμίου καταδοχῆς τελείως τὴν ἁμαρτίαν ἐμίσησεν. Αὗται αἱ τῶν ἐπιτιμίων αἰτίαι καὶ πλείονες ἴσως ἕτεραι, πάντα δὲ αὐτὰ παρορῶμεν, ἐν οἷς τὸ χρεὼν κατεπείγει πρὸς τὴν ἀπὸ τοῦ σώματος ἔξοδον, ἀρκεῖν ἡγούμενοι τὴν τοῦ μετανοοῦντος ἐπιστροφὴν καὶ γνησίαν εἰς τ' ἀγαθὸν πρόθεσιν ἐπὶ τὴν τῶν ἡμαρτημένων ἄφεσιν. Διὰ τοῦτο καὶ ἀφίεμεν αὐτὰ καὶ τὴν δοθεῖσαν ἡμῖν ἐξουσίαν καὶ παρὰ Θεοῦ ἀφεῖσθαι πιστεύομεν αὐτά τε καὶ τὴν ἐπ' αὐτοῖς τιμωρίαν· ὅσα γὰρ, φησὶν, ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. Καὶ εἰς ἐχέγγυον τούτου τὴν θείαν δωρεὰν τῆς εὐχαριστίας ἐπιδίδομεν τοῖς οὕτως ἀπαλλαττομένοις· τὸ μὲν γὰρ ἐπιστρέψαν καὶ μετανοῆσαν γνησίως ἐν τῇ γνώμῃ κεῖσθαι τοῦ ἁμαρτήσαντος, τὸ δὲ μὴ πληρῶσαν τὸ ἐπιτίμιον ἐν τῇ κρίσει τοῦ Θεοῦ ἐστι τοῦ τὸν ἄνθρωπον ὑπεξαιροῦντος τοῦ βίου, καὶ διὰ τοῦτο βασιλικῶς ὁ φιλάνθρωπος ἐκ φιλανθρωπίας μόνης τὴν ἄφεσιν τῷ ἡμαρτηκότι χαρίζεται, καθάπερ καὶ τῷ λῃστῇ πρὸς ἐσχάταις ἀναπνοαῖς μνήμην ἐν τῇ βασιλείᾳ μόνον αἰτησαμένῳ τὸν παράδεισον αὐτὸν ὁ μεγαλόδωρος ἐπεδαψιλεύσατο.

ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΗΜΕΡΟΛΟΓΙΟΝ (*)

Τετάρτη 22. Τῆς ἁγίας μυροφόρου καὶ ἰσαποστόλου Μαρίας τῆς Μαγδαληνῆς.

Αὕτη ἦν ἐκ Μαγδόλου πόλεως τῆς κάτω Αἰγύπτου κειμένης πρὸς ἀνατολὰς τοῦ Πηλουσίου· προσῆλθε δὲ τῷ Σωτῆρι ὑπὸ δαιμονίων ἑπτὰ ἐνοχλουμένη, ὧν ἀπηλλάγη τῇ τοῦ Κυρίου χάριτι (Λουκ. η' 2, Μάρκ. ις' 9).

Ὁ ἀριθμὸς ἑπτὰ ἐν τῇ ἱερᾷ γραφῇ λαμβάνεται ἀντὶ πλήθους, ὡς ἐν τῷ «στείρα ἔτεκεν ἑπτὰ» (Βασιλ. Α' ϛ')· ὅθεν ὑπομνηματισταί τινες ἐξηγοῦσι τὸ «ἑπτὰ δαιμόνια» ἀντὶ τοῦ πολλά· ἕτεροι θέλουσιν ὅτι, ὥσπερ εἰσὶν ἑπτὰ τῆς ἀρετῆς πνεύματα, οὕτως εἰσὶν ἐκ τοῦ ἐναντίου ἑπτὰ τῆς κακίας, ἤτοι πνεῦμα ἀσυνεσίας, πνεῦμα ἀγνωσίας, πνεῦμα ψεύδους, καὶ ὅσα ἄλλα ἀντίπαλα τῶν χαρισμάτων τοῦ Πνεύματος, ἅτινα εἰ μὴ ἐκβληθείη ἀπὸ τῆς ψυχῆς, οὐ δύναταί τις ἀκολουθεῖν τῷ Χριστῷ.

Μαρίαν τὴν Μαγδαληνὴν ἐνορῶμεν διακονοῦσαν τῷ Δεσπότῃ ἀπὸ τῶν ὑπαρχόντων αὐτῆς, πρὶν ἔτι ὁ Σωτὴρ ἀποστείλῃ τοὺς μαθητὰς αὐτοῦ ἵνα διέλθωσι τὴν Ἰουδαίαν κατὰ κώμας εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ· ἰδίᾳ δὲ καθορῶμεν ταύτην περιφρονοῦσαν τὸν κίνδυνον, ὃν ἡ μανία τῶν Ἰουδαίων ἠπείλει κατὰ τῶν συμπαθῶς τῷ Σωτῆρι διακειμένων ἐν ταῖς ὥραις τοῦ φρικτοῦ πάθους, μετὰ δὲ τῆς ἀειπαρθένου καὶ πανάγνου μητρὸς τοῦ Δεσπότου, τῆς Σαλώμης μητρὸς τῶν υἱῶν Ζεβεδαίου καὶ ἄλλων γυναικῶν ἀνελθοῦσαν ἄχρι τοῦ Γολγοθᾶ καὶ μετὰ τῆς Θεοτόκου ἀπαντῶσαν εἰς τὰς ὕβρεις τοῦ κομπάζοντος ὄχλου τῶν Ἰουδαίων διὰ κοπετοῦ καὶ θρήνου. Μόνη αὕτη δὲν ἐγκατέλιπε τὴν Θεοτόκον, ἀλλὰ παρέμεινε μετ' αὐτῆς, ἄχρις οὗ ὁ εὐσχήμων βουλευτὴς Ἰωσὴφ σὺν τῷ Νικοδήμῳ ἀποκαθελὼν τὸ σῶμα τοῦ Κυρίου κατέθετο αὐτὸ ἐν τῷ καινῷ μνημείῳ, κατέναντι τοῦ ὁποίου καθίσασα ἡ Θεοτόκος μετὰ τῆς Μαγδαληνῆς ἐθεώρουν ποῦ ἐτίθετο οὐχὶ ἐκ περιεργείας ἀλλ' ἐκ συμπαθείας καὶ φιλοστοργίας ὑπάτης· ὅθεν καὶ ὁ ἱερὸς Χρυσόστομος θαυμάζων ἀναφωνεῖ «εἶδες γυναικῶν ἀνδρείαν; εἶδες φιλοστοργίαν; εἶδες με-

(*) Συνέχεια (ἴδ. Ἐκκλ. Ἀλήθ. τεῦχ. Η').

γαλοψυχίαν·την ἐν τοῖς χρήμασι τὴν μέχρι θανάτου; Μιμησόμεθα τὰς γυναῖκας οἱ ἄνδρες! μὴ καταλείψωμεν ἐν πειρασμοῖς τὸν Ἰησοῦν! ἐκεῖναι μὲν γὰρ καὶ εἰς τελευτήσαντα τοσαῦτα ἠνέλωσαν (ἐννοεῖ τὴν ἀγορὰν τῶν μύρων καὶ ἀρωμάτων), καὶ τὰς ψυχὰς ἐξέδωκαν, ἡμεῖς δὲ οὐδὲ πεινῶντα τρέφομεν, οὐδὲ γυμνὸν περιβάλλομεν, ἀλλ' ὀρῶντες αὐτὸν προσαιτοῦντα παρατρέχομεν». Ὅθεν καὶ πρῶται αὗται καταξιοῦνται ἰδεῖν ἀναστάντα τὸν Κύριον καὶ ἡ Μαγδαληνὴ Μαρία ἠξίωται εὐαγγελίσασθαι τοῖς μαθηταῖς τὴν τοῦ Κυρίου ἀνάστασιν.

Μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν καὶ τὴν τοῦ παναγίου Πνεύματος ἐπιφοίτησιν, ἀφ' οὗ οἱ ἀπόστολοι ἐξῆλθον εἰς τὸ κήρυγμα, ἀνεχώρησε, λέγουσιν, ἐξ Ἱεροσολύμων καὶ ἡ Μαγδαληνὴ Μαρία καὶ ἐλθοῦσα εἰς Ἔφεσον πρὸς Ἰωάννην τὸν Θεολόγον καὶ ἀπόστολον ἔζησεν ὁσίως ἐπί τινα ἔτη, μεθ' ὃ ἐν Κυρίῳ κοιμηθεῖσα ἐτάφη πρὸς τὴν εἴσοδον τοῦ σπηλαίου, ἐν ᾧ μετὰ πάροδον δύο αἰώνων οἱ μακάριοι ἑπτὰ ἐκοιμήθησαν παῖδες

Πέμπτη 23. Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Φωκᾶ.

Οὗτος ἦλθεν ἐπὶ τῆς βασιλείας τοῦ Τραϊανοῦ κομισάμενος διὰ τῆς καρτερίας καὶ τῆς εἰς Χριστὸν προσηλώσεως τὸν καλλίνικον τοῦ μαρτυρίου στέφανον.

Φῶς Κυρίου, ἔνδοξε Φωκᾶ, φωτίσαν
σὴν καρδίαν ἔδειξε φωτὸς δοχεῖον.

Παρασκευὴ 24. Μνήμη τῆς ἁγίας μεγαλομάρτυρος Χριστίνης.

Αὕτη ἦν ἐκ Τύρου παραθαλασσίας πόλεως τῆς Φοινίκης θυγάτηρ Οὐρβανοῦ τινος στρατηλάτου, ὃς καταλαβὼν αὐτὴν τῇ εἰς Χριστὸν πίστιν προσκειμένην μυριαχῶς ἐβασάνισεν ὅπως ἀναπάσῃ τῆς εὐσεβείας· ἀποτυχὼν ἐνέκλεισεν αὐτὴν ἐν δεσμωτηρίῳ μηχανευόμενος νέα κολαστήρια πρὸς ἐκνίκησιν τοῦ ἀνδρικοῦ φρονήματος τῆς παρθένου. Ἐν ᾧ ταῦτα διεσκέπτετο, κατέλαβεν αὐτὸν ὁ θάνατος, καὶ ἡ μάρτυς παρέμεινεν ἐν τῇ φυλακῇ. Μετὰ μικρὸν τὸν πατέρα αὐτῆς διεδέξατο ἐν τῇ ἀρχῇ Δίων τις ὀνόματι, ὃς εἰ καὶ ἐξήντλησε πᾶν εἶδος κολαστηρίων, οὐδὲν κατὰ τῆς σταθερότητος τῆς μάρτυρος ἴσχυσε. Τὸν Δίωνα τοῦτον διεδέχθη ἕτερος ἄρχων ὁ Ἰουλιανός, ὃς ἀποτυχὼν ἵνα διὰ βασανιστηρίων καταβάλῃ τὸ φρόνημα τῆς παρθένου, διέταξε τέλος τοὺς στρατιώτας ἵνα διὰ τῶν πελτῶν προσβάλωσιν αὐτήν, οὗ γενομένου, τῷ Κυρίῳ ἡ μάρτυς τὸ πνεῦμα παρέθετο.

Τὴν Χριστῆναν ἤνωσε Χριστῷ νυμφίῳ
νύμφην ἀμωμον αἷμα τοῦ μαρτυρίου.

Σάββατον 25.—Μνήμη τῆς κοιμήσεως τῆς ἁγίας Ἄννης μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου.

Αὕτη ἡ κατὰ σάρκα προμήτωρ τοῦ Κυρίου ἦν ἐκ φυλῆς Λευΐ θυγάτηρ Ματθὰν τοῦ ἱερέως καὶ Μαρίας τῆς αὐτοῦ γυναικός. Τῷ Ματθὰν τούτῳ ἐγένοντο τρεῖς θυγατέρες Μαρία ἡ μήτηρ Σαλώμης τῆς μαίας, Σοβὴ ἡ τὴν Ἐλισάβετ γεννήσασα καὶ Ἄννα αὕτη ἡ τῷ Ἰωακεὶμ ἐν Γαλιλαίᾳ συζευχθεῖσα καὶ τὴν Θεοτόκον παρθένον Μαρίαν τεκοῦσα, ἥτις καὶ ἐν βαθεῖ γήρατι ἐκοιμήθη ἐν εἰρήνῃ πρὸς Κύριον.

Μήτηρ τελευτᾷ μητροπαρθένου κόρης,
ἡ τῶν κυουσῶν μητέρα σωτηρίαν.

Κυριακὴ 26.—Μνήμη τῶν ἁγίων ἱερομαρτύρων Ἑρμολάου, Ἑρμίππου καὶ Ἑρμοκράτους, καὶ τῆς ἁγίας ὁσιομάρτυρος τοῦ Χριστοῦ Παρασκευῆς.

Οἱ ἱερομάρτυρες Ἑρμόλαος καὶ οἱ σὺν αὐτῷ κατελέγοντο ἐν τῷ εὐαγεῖ κλήρῳ τῆς Νικομηδείας, ὅτε ὁ Διοκλητιανὸς ὠθούμενος ὑπὸ τοῦ γαμβροῦ αὐτοῦ Γαλερίου, διέταξε καὶ ἀπετέφρωσαν τῇ 23 φεβρουαρίου τοῦ 303 τὸν ἐκεῖ πάνσεπτον ἱερὸν ναὸν (ἴδε «Ἐκκλ. Ἀληθείας» τεῦχος Η' σελ. 448). Ἐκ τῆς καταστροφῆς ἐκείνης διασωθέντες οἱ ἅγιοι ἐκρύπτοντο ἔν τινι δωματίῳ. Ἐπεὶ δὲ ὁ ἅγιος Παντελεήμων συνελήφθη καὶ ἀνακρινόμενος ὑπὸ τοῦ Γαλερίου παρὰ τίνος τὰ χριστιανῶν ἐμυήθη, μὴ εἰδὼς ψεύσασθαι, εἶπε παρὰ Ἑρμολάου τοῦ πρεσβυτέρου, ἐκ διαταγῆς τοῦ Γαλερίου ἀνεζητήθησαν οἱ ἅγιοι καὶ προσαχθέντες αὐτῷ, ἐπεὶ τὸν Χριστὸν παρρησίᾳ ὡμολόγησαν, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

Ἑρμιππος, Ἑρμόλαος, ἠδ' Ἑρμοκράτης,
Ἑρμῆν σέβοντα ἤσχυναν παρρησίᾳ.

Ἡ ὁσιομάρτυς Παρασκευὴ γέννημα ἦν τῆς πρεσβυτέρας Ῥώμης περὶ τὰ μέσα ἀκμάσασα τῆς δ' ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος ἐπὶ τῆς βασιλείας Μάρκου Ἀντωνίνου τοῦ Εὐσεβοῦς, ἐφ' οὗ κατὰ τὰ ἐν τοῖς μηναίοις ὑπομνήματα ἡ ὁσιομάρτυς Παρασκευὴ ἀχθεῖσα πρὸ τοῦ βήματος τοῦ βασιλέως καὶ προσκληθεῖσα θῦσαι τοῖς εἰδώλοις, ἀνέκραξε· «μή μοι γένοιτο ἀρνήσασθαι τὸ ὄνομα τοῦ Χριστοῦ καὶ Θεοῦ μου», θεοὶ γὰρ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν μὴ ποιήσαντες ἀπολέσθωσαν, «ἐξώργισε τὸν βασιλέα, ὃς καὶ διέταξε δεινοῖς κολαστηρίοις ἐκδιάσαι ταύτην εἰς προσκύνησιν τῶν εἰδώλων. Τὸ συναξάριον ἐξακολουθεῖ ὅτι τυφλωθεὶς καὶ ἐπιγνοὺς τὸν ἀληθῆ Θεόν, ἰάθη ταῖς δεήσεσι τῆς μάρτυρος καὶ βαπτισθεὶς ἀπέλυσεν αὐτήν, ἥτις ἐξελθοῦσα καὶ κηρύττουσα τὸ εὐαγγέλιον εἰς διαφόρους πόλεις καὶ κώμας τέλος ὑπὸ ἡγεμόνος τινὸς Ταρασίου ὀνόματι, ἀπετμήθη ξίφει τὴν κεφαλήν, ἀφ' οὗ προηγουμένως ἐν τῇ εὐαγγελικῇ αὐτῆς ἐκδρομῇ ἐφελκύσατο πρὸς τὴν εἰς Χριστὸν πίστιν ἕτερον ἡγεμόνα ὀνόματι Ἀσκληπιόν.

Αἱ ἱστορικαὶ ἀνακρίβειαι αἱ ἀπαντῶσαι ἐν τῷ συναξαρίῳ τούτῳ προῆλθον πάντως ἐκ παρερμηνείας τοῦ χαρακτῆρος τοῦ αὐτοκράτορος Ἀντωνίνου, ὃν δειχθέντα εὔνουν τοῖς χριστιανοῖς ἐκήρυξαν ὡς ἀσπασάμενον τὸν χριστιανισμόν, καθὼς καὶ ἐκ συγχύσεως τῶν ἱστορικῶν γεγονότων τοῦ ἐπὶ τοῦ διαδόχου αὐτοῦ Μάρκου Αὐρηλίου κινηθέντος συστηματικοῦ κατὰ τῶν χριστιανῶν διωγμοῦ, ὅτε καὶ ἡ ὁσιομάρτυς Παρασκευὴ ἤθλησεν· ὅθεν ἀναγκαῖον κρίνομεν ἵνα παρεκβατικῶς ὀλίγα τινὰ σημειώσωμεν περὶ τῶν πρώτων κατὰ τοῦ συναξαρίου.

Ὅτε ὁ Κλαύδιος ἐν ἔτει 53 διέταξε τὴν ἐκ Ῥώμης ἔξωσιν τῶν Ἰουδαίων (Πράξ. τὴ 2), ἔπαθον καὶ οἱ ἐκεῖ χριστιανοί, οἵτινες συνεχέοντο ὑπὸ τῶν ἐθνικῶν τοῖς Ἰουδαίοις· κυρίως ὅμως διωγμὸν ὑπέστησαν οἱ χριστιανοὶ ἐπὶ Νέρωνος, ὃς ἀπὸ τῆς 19 ἕως τῆς 28 Ἰουλίου τοῦ 64 ἐμπρήσας τὴν Ῥώμην ἀπέδωκε τὸ ἔγκλημα τοῦ ἐμπρησμοῦ εἰς τοὺς χριστιανούς, οἵτινες ἀσπλάγχνως ἐκακώθησαν ὑπὸ τῶν Ῥωμαίων, ὡς ἱστορεῖ ὁ Τάκιτος (Annal. XV c. 44) καὶ ὁ Σουετώνιος (in vita Neron c. 16). Δεύτερος διωγμὸς ἐκινήθη κατὰ τὰ δύο τελευταῖα ἔτη τῆς βασιλείας τοῦ Δομητιανοῦ, ὅστις ἐλογίζετο τὸν χριστιανισμὸν ἔγκλημα ἀθεότητος ἅμα καὶ ἐξυδρίσεως τῆς αὐτοκρατορικῆς μεγαλειότητος. Ὁ μετὰ τὸν Νερούαν βασιλεύσας τῷ 98—117 Τραϊανὸς ἐν ἀπαντητικῇ ἐπιστολῇ πρὸς Πλίνιον τὸν νεώτερον ἔπαρχον Βιθυνίας καὶ Πόντου ὥριζε τότε μόνον νὰ τιμωρῶνται οἱ χριστιανοί, ὅταν ἐγκαλῶνται, καὶ ἀπέτρεπε τὴν ἀναζήτησιν αὐτῶν (Plin. libr. X, epist. 98). Ἐπὶ τοῦ διαδεξαμένου τὸν Τραϊανὸν Ἀδριανοῦ (117—138) τὸ κατ' ἀρχὰς ἀνυπόπτοί τινες καὶ ἔπαρχοι ἐκινήθησαν βαρεῖς κατὰ τῶν χριστιανῶν, ἀλλ' ὅτε πεπαιδευμένοι χριστιανοὶ ὡς Κοδρᾶτος ὁ μαθητὴς τῶν ἀποστόλων καὶ Ἀθηνῶν ἐπίσκοπος καὶ Ἀριστείδης ὁ ἀθηναῖος φιλόσοφος ἐπέδωκαν αὐτῷ ἀπολογίαν ὑπὲρ τῶν χριστιανῶν, φιλάνθρωπος δὲ ἐθνικὸς ὁ τῆς Μικρᾶς Ἀσίας ἀνθύπατος Σερήνιος Γρανιανὸς ἔγραψεν αὐτῷ ὅτι δὲν εἶνε δίκαιον διὰ μόνας τὰς κραυγὰς τοῦ λαοῦ νὰ διώκωνται οἱ χριστιανοί, ὁ Ἀδριανὸς ἔγραψε τῷ διαδόχῳ τοῦ Γρανιανοῦ Μινουκίῳ Φουνδανῷ τὸ ἑπόμενον γράμμα. «Μινουκίῳ Φουνδανῷ. Ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ Σερηνίου Γρανιανοῦ, λαμπροτάτου ἀνδρός, ὄντινα σὺ διεδέξω. Οὐ δοκεῖ μοι οὖν τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται, καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας παρασχεθῇ. Εἰ οὖν σα-

